How, then, could blood ever turn into bone, without having first become, as far as possible, thickened and white? And how could bread turn into blood without having gradually parted with its whiteness and gradually acquired redness? Thus it is quite easy for blood to become flesh; for, if Nature thicken it to such an extent that it acquires a certain consistency and ceases to be fluid, it thus becomes original newly-formed flesh; but in order that blood may turn into bone, much time is needed and much elaboration and transformation of the blood. Further, it is quite clear that bread, and, more particularly lettuce, beet, and the like, require a great deal of alteration in order to become blood.

This, then, is one reason why there are so many organs concerned in the alteration of food. A second reason is the nature of the *superfluities*.[3] For, as we are unable to draw any nourishment from grass, although this is possible for cattle, similarly we can derive nourishment from radishes, albeit not

[3] Not quite our "waste *products*," since these are considered as being partly synthetic, whereas the Greek *perittomata* were simply superfluous substances which could not be used and were thrown aside.

*δος τρεφόμεθα μέν, ἀλλ' οὐχ ὡς ὑπὸ τῶν κρεῶν. τούτων μὲν γὰρ ὀλίγου δεῖν ὅλων ἡ φύσις ἡμῶν κρατεῖ καὶ μεταβάλλει καὶ ἀλλοιοῖ καὶ χρηστὸν ἐξ αὐτῶν αἷμα συνίστησιν· ἐν δὲ τῇ ῥαφανίδι τὸ μὲν οἰκεῖόν τε καὶ μεταβληθῆναι δυνάμενον, μόγις καὶ τοῦτο καὶ σὺν πολλῇ τῇ κατεργασίᾳ, παντάπασιν ἐλάχιστον· ὅλη δ' ὀλίγου δεῖν ἐστι περιττωματικὴ καὶ διεξέρχεται τὰ τῆς πέψεως ὄργανα, βραχέος ἐξ αὐτῆς εἰς τὰς φλέβας ἀναληφθέντος αἵματος καὶ οὐδὲ τούτου τελέως χρηστοῦ. δευτέρας οὖν αὖθις ἐδέησε διακρίσεως τῇ φύσει τῶν ἐν ταῖς φλεψὶ περιττωμάτων. καὶ χρεία καὶ τού-*
23 *τοις ὁδῶν τέ τινων ἑτέρων ἐπὶ τὰς ἐκ||κρίσεις αὐτὰ παραγουσῶν, ὡς μὴ λυμαίνοιτο τοῖς χρηστοῖς, ὑποδοχῶν τέ τινων οἷον δεξαμενῶν, ἐν αἷς ὅταν εἰς ἱκανὸν πλῆθος ἀφίκηται, τηνικαῦτ' ἐκκριθήσεται.*

*Δεύτερον δή σοι καὶ τοῦτο τὸ γένος τῶν ἐν τῷ σώματι μορίων ἐξεύρηται τοῖς περιττώμασι τῆς τροφῆς ἀνακείμενον. ἄλλο δὲ τρίτον ὑπὲρ τοῦ πάντῃ φέρεσθαι, καθάπερ τινὲς ὁδοὶ πολλαὶ διὰ τοῦ σώματος ὅλου κατατετμημέναι.*

*Μία μὲν γὰρ εἴσοδος ἡ διὰ τοῦ στόματος ἅπασι τοῖς σιτίοις, οὐχ ἓν δὲ τὸ τρεφόμενον ἀλλὰ πάμπολλά τε καὶ πάμπολυ διεστῶτα. μὴ τοίνυν θαύμαζε τὸ πλῆθος τῶν ὀργάνων, ὅσα θρέψεως ἕνεκεν ἡ φύσις ἐδημιούργησε. τὰ μὲν γὰρ ἀλλοι-*

---

[1] Note "*our* natures," *cf.* p. 12, note 4; p. 47, note 1.

[2] The term *οἰκεῖος*, here rendered *appropriate*, is explained on p. 33. *cf.* also footnote on same page. Linacre often translated it *conveniens*, and it may usually be rendered *proper*, *peculiar*, *own special*, or *own particular* in English. Sometimes it is almost equal to *akin*, *cognate*, *related*: *cf.*

to the same extent as from meat; for almost the whole of the latter is mastered by our natures[1]; it is transformed and altered and constituted useful blood; but, in the radish, what is appropriate[2] and capable of being altered (and that only with difficulty, and with much labour) is the very smallest part; almost the whole of it is surplus matter, and passes through the digestive organs, only a very little being taken up into the veins as blood—nor is this itself entirely utilisable blood. Nature, therefore, had need of a second process of separation for the superfluities in the veins. Moreover, these superfluities need, on the one hand, certain fresh routes to conduct them to the outlets, so that they may not spoil the useful substances, and they also need certain *reservoirs*, as it were, in which they are collected till they reach a sufficient quantity, and are then discharged.

Thus, then, you have discovered bodily parts of a second kind, consecrated in this case to the [removal of the] superfluities of the food. There is, however, also a third kind, for carrying the pabulum in every direction; these are like a number of roads intersecting the whole body.

Thus there is one entrance—that through the mouth—for all the various articles of food. What receives nourishment, however, is not one single part, but a great many parts, and these widely separated; do not be surprised, therefore, at the abundance of organs which Nature has created for the purpose of nutrition. For those of them which have to do with

p. 319, note 2. With Galen's *οἰκεῖος* and *ἀλλότριος* we may compare the German terms *eigen* and *fremd* used by Abderhalden in connection with his theory of defensive ferments in the blood-serum.

οὖντα προπαρασκευάζει τὴν ἐπιτήδειον ἑκάστῳ μορίῳ τροφήν, τὰ δὲ διακρίνει τὰ περιττώματα, τὰ δὲ παραπέμπει, τὰ δ᾽ ὑποδέχεται, τὰ δ᾽ ἐκκρίνει, τὰ δ᾽ ὁδοὶ τῆς πάντη φορᾶς εἰσι τῶν χρηστῶν χυμῶν, ὥστ᾽, εἴπερ βούλει τὰς δυνάμεις τῆς φύσεως ἁπάσας ἐκμαθεῖν, ὑπὲρ ἑκάστου τούτων ἂν εἴη σοι τῶν ὀργάνων ἐπισκεπτέον.

24 Ἀρχὴ δ᾽ αὐτῶν τῆς διδασκαλίας, ὅσα || τοῦ τέλους ἐγγὺς ἔργα τε τῆς φύσεώς ἐστι καὶ μόρια καὶ δυνάμεις αὐτῶν.

## XI

Αὐτοῦ δὲ δὴ πάλιν ἀναμνηστέον ἡμῖν τοῦ τέλους, οὗπερ ἕνεκα τοσαῦτά τε καὶ τοιαῦτα τῇ φύσει δεδημιούργηται μόρια. τὸ μὲν οὖν ὄνομα τοῦ πράγματος, ὥσπερ καὶ πρότερον εἴρηται, θρέψις· ὁ δὲ κατὰ τοὔνομα λόγος ὁμοίωσις τοῦ τρέφοντος τῷ τρεφομένῳ. ἵνα δ᾽ αὕτη γένηται, προηγήσασθαι χρὴ πρόσφυσιν, ἵνα δ᾽ ἐκείνη, πρόσθεσιν. ἐπειδὰν γὰρ ἐκπέσῃ τῶν ἀγγείων ὁ μέλλων θρέψειν ὁτιοῦν τῶν τοῦ ζῴου μορίων χυμός, εἰς ἅπαν αὐτὸ διασπείρεται πρῶτον, ἔπειτα προστίθεται κἄπειτα προσφύεται καὶ τελέως ὁμοιοῦται.

---

[1] Transit, *cf.* p. 6, note 1.

[2] *i.e.* of the living organism, *cf.* p. 2, note 1.

[3] *i.e.* with nutrition.

[4] We might perhaps say, more shortly, "assimilation of food to feeder," or, "of food to fed"; Linacre renders, "nutrimenti cum nutrito assimilatio."

alteration prepare the nutriment suitable for each part; others separate out the superfluities; some pass these along, others store them up, others excrete them; some, again, are paths for the transit[1] in all directions of the *utilisable* juices. So, if you wish to gain a thorough acquaintance with all the faculties of Nature,[2] you will have to consider each one of these organs.

Now in giving an account of these we must begin with those effects of Nature, together with their corresponding parts and faculties, which are closely connected with the purpose to be achieved.[3]

## XI

Let us once more, then, recall the actual purpose for which Nature has constructed all these parts. Its name, as previously stated, is *nutrition*, and the definition corresponding to the name is: *an assimilation of that which nourishes to that which receives nourishment.*[4] And in order that this may come about, we must assume a preliminary process of *adhesion*,[5] and for that, again, one of *presentation*.[6] For whenever the juice which is destined to nourish any of the parts of the animal is emitted from the vessels, it is in the first place dispersed all through this part, next it is presented, and next it adheres, and becomes completely assimilated.

[5] Lit. *prosphysis*, *i.e.* attachment, implantation.

[6] Lit. *prosthesis*, "apposition." One is almost tempted to retain the terms *prosthesis* and *prosphysis* in translation, as they obviously correspond much more closely to Galen's physiological conceptions than any English or semi-English words can.

Δηλοῦσι δ' αἱ καλούμεναι λεῦκαι τὴν διαφορὰν ὁμοιώσεώς τε καὶ προσφύσεως, ὥσπερ τὸ γένος ἐκεῖνο τῶν ὑδέρων, ὅ τινες ὀνομάζουσιν ἀνὰ σάρκα, διορίζει σαφῶς πρόσθεσιν προσφύσεως. οὐ γὰρ ἐνδείᾳ δήπου τῆς ἐπιρρεούσης ὑγρότητος, ὡς ἔνιαι τῶν ἀτροφιῶν τε καὶ φθίσεων, ἡ τοῦ
25 τοιούτου γένεσις ὑδέρου || συντελεῖται. φαίνεται γὰρ ἱκανῶς ἥ τε σὰρξ ὑγρὰ καὶ διάβροχος ἕκαστόν τε τῶν στερεῶν τοῦ σώματος μορίων ὡσαύτως διακείμενον. ἀλλὰ πρόσθεσις μέν τις γίγνεται τῆς ἐπιφερομένης τροφῆς, ἅτε δ' ὑδατωδεστέρας οὔσης ἔτι καὶ μὴ πάνυ τι κεχυμωμένης μηδὲ τὸ γλίσχρον ἐκεῖνο καὶ κολλῶδες, ὃ δὴ τῆς ἐμφύτου θερμασίας οἰκονομίᾳ προσγίγνεται, κεκτημένης ἡ πρόσφυσις ἀδύνατός ἐστιν ἐπιτελεῖσθαι πλήθει λεπτῆς ὑγρότητος ἀπέπτου διαρρεούσης τε καὶ ῥᾳδίως ὀλισθαινούσης ἀπὸ τῶν στερεῶν τοῦ σώματος μορίων τῆς τροφῆς. ἐν δὲ ταῖς λεύκαις πρόσφυσις μέν τις γίγνεται τῆς τροφῆς, οὐ μὴν ἐξομοίωσίς γε. καὶ δῆλον ἐν τῷδε τὸ μικρῷ πρόσθεν ῥηθὲν ὡς ὀρθῶς ἐλέγετο τὸ δεῖν πρόσθεσιν μὲν πρῶτον, ἐφεξῆς δὲ πρόσφυσιν, ἔπειτ' ἐξομοίωσιν γενέσθαι τῷ μέλλοντι τρέφεσθαι.

Κυρίως μὲν οὖν τὸ τρέφον ἤδη τροφή, τὸ δ' οἷον μὲν τροφή, οὔπω δὲ τρέφον, ὁποῖόν ἐστι τὸ προσφυόμενον ἢ προστιθέμενον, τροφὴ μὲν οὐ

---

[1] Lit. *phthisis*. *cf.* p. 6, note 2. Now means *tuberculosis* only.

[2] More literally, "chymified." In *anasarca* the subcutaneous tissue is soft, and pits on pressure. In the "white" disease referred to here (by which is probably meant *nodular leprosy*) the same tissues are indurated and "brawny." The

The so-called white [leprosy] shows the difference between assimilation and adhesion, in the same way that the kind of dropsy which some people call *anasarca* clearly distinguishes presentation from adhesion. For, of course, the genesis of such a dropsy does not come about as do some of the conditions of atrophy and wasting,[1] from an insufficient supply of moisture; the flesh is obviously moist enough,—in fact it is thoroughly saturated,—and each of the solid parts of the body is in a similar condition. While, however, the nutriment conveyed to the part does undergo presentation, it is still too watery, and is not properly transformed into a *juice*,[2] nor has it acquired that viscous and agglutinative quality which results from the operation of *innate heat*;[3] therefore, adhesion cannot come about, since, owing to this abundance of thin, crude liquid, the pabulum runs off and easily slips away from the solid parts of the body. In white [leprosy], again, there is adhesion of the nutriment but no real assimilation. From this it is clear that what I have just said is correct, namely, that in that part which is to be nourished there must first occur presentation, next adhesion, and finally assimilation proper.

Strictly speaking, then, *nutriment* is that which is actually nourishing, while the *quasi-nutriment* which is not yet nourishing (*e.g.* matter which is undergoing adhesion or presentation) is not, strictly speaking, nutriment, but is so called only by an equivocation.

principle of certain diseases being best explained as cases of *arrest* at various stages of the metabolic path is recognized in modern pathology, although of course the instances given by Galen are too crude to stand.

[3] The effects of *oxidation* attributed to the heat which accompanies it? *cf.* p. 141, note 1; p. 254, note 1.

κυρίως, ὁμωνύμως δὲ τροφή· τὸ δ᾿ ἐν ταῖς φλεψὶν
26 ἔτι περιεχόμενον || καὶ τούτου μᾶλλον ἔτι τὸ κατὰ τὴν γαστέρα τῷ μέλλειν ποτὲ θρέψειν, εἰ καλῶς κατεργασθείη, κέκληται τροφή. κατὰ ταὐτὰ δὲ καὶ τῶν ἐδεσμάτων ἕκαστον τροφὴν ὀνομάζομεν οὔτε τῷ τρέφειν ἤδη τὸ ζῷον οὔτε τῷ τοιοῦτον ὑπάρχειν οἷον τὸ τρέφον, ἀλλὰ τῷ δύνασθαί τε καὶ μέλλειν τρέφειν, εἰ καλῶς κατεργασθείη.

Τοῦτο γὰρ ἦν καὶ τὸ πρὸς Ἱπποκράτους λεγόμενον· "Τροφὴ δὲ τὸ τρέφον, τροφὴ καὶ τὸ οἷον τροφὴ καὶ τὸ μέλλον." τὸ μὲν γὰρ ὁμοιούμενον ἤδη τροφὴν ὠνόμασε, τὸ δ᾿ οἷον μὲν ἐκεῖνο προστιθέμενον ἢ προσφυόμενον οἷον τροφήν· τὸ δ᾿ ἄλλο πᾶν, ὅσον ἐν τῇ γαστρὶ καὶ ταῖς φλεψὶ περιέχεται, μέλλον.

## XII

Ὅτι μὲν οὖν ἀναγκαῖον ὁμοίωσίν τιν᾿ εἶναι τοῦ τρέφοντος τῷ τρεφομένῳ τὴν θρέψιν, ἄντικρυς δῆλον. οὐ μὴν ὑπάρχουσάν γε ταύτην τὴν ὁμοίωσιν, ἀλλὰ φαινομένην μόνον εἶναί φασιν οἱ μήτε τεχνικὴν οἰόμενοι τὴν φύσιν εἶναι μήτε προνοητικὴν τοῦ ζῴου μήθ᾿ ὅλως τινὰς οἰκείας ἔχειν δυνάμεις, αἷς χρωμένη τὰ μὲν ἀλλοιοῖ, τὰ δ᾿
27 ἕλκει, || τὰ δ᾿ ἐκκρίνει.

Καὶ αὗται δύο γεγόνασιν αἱρέσεις κατὰ γένος ἐν ἰατρικῇ τε καὶ φιλοσοφίᾳ τῶν ἀποφηναμένων

Also, that which is still contained in the veins, and still more, that which is in the stomach, from the fact that it is destined to nourish if properly elaborated, has been called "nutriment." Similarly we call the various kinds of food "nutriment," not because they are already nourishing the animal, nor because they exist in the same state as the material which actually is nourishing it, but because they are able and destined to nourish it if they be properly elaborated.

This was also what Hippocrates said, viz., "Nutriment is what is engaged in nourishing, as also is quasi-nutriment, and what is destined to be nutriment." For to that which is already being assimilated he gave the name of *nutriment*; to the similar material which is being presented or becoming adherent, the name of *quasi-nutriment*; and to everything else—that is, contained in the stomach and veins—the name of *destined nutriment.*

## XII

It is quite clear, therefore, that nutrition must necessarily be a process of assimilation of that which is nourishing to that which is being nourished. Some, however, say that this assimilation does not occur in reality, but is merely apparent; these are the people who think that Nature is not artistic, that she does not show forethought for the animal's welfare, and that she has absolutely no native powers whereby she alters some substances, attracts others, and discharges others.

Now, speaking generally, there have arisen the following two sects in medicine and philosophy

τι περὶ φύσεως ἀνδρῶν, ὅσοι γ' αὐτῶν γιγνώσκουσιν, ὅ τι λέγουσι, καὶ τὴν ἀκολουθίαν ὧν ὑπέθεντο θεωροῦσι θ' ἅμα καὶ διαφυλάττουσιν. ὅσοι δὲ μηδ' αὐτὸ τοῦτο συνιᾶσιν, ἀλλ' ἁπλῶς, ὅ τι ἂν ἐπὶ γλῶτταν ἔλθῃ, ληροῦσιν, ἐν οὐδετέρᾳ τῶν αἱρέσεων ἀκριβῶς καταμένοντες, οὐδὲ μεμνῆσθαι τῶν τοιούτων προσήκει.

Τίνες οὖν αἱ δύο αἱρέσεις αὗται καὶ τίς ἡ τῶν ἐν αὐταῖς ὑποθέσεων ἀκολουθία; τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ πᾶσαν ἡνωμένην θ' ἅμα καὶ ἀλλοιοῦσθαι δυναμένην ὑπέθετο θάτερον γένος τῆς αἱρέσεως, ἀμετάβλητον δὲ καὶ ἀναλλοίωτον καὶ κατατετμημένην εἰς λεπτὰ καὶ κεναῖς ταῖς μεταξὺ χώραις διειλημμένην ἡ λοιπή.

Καὶ τοίνυν ὅσοι γε τῆς ἀκολουθίας τῶν ὑποθέσεων αἰσθάνονται, κατὰ μὲν τὴν δευτέραν αἵρεσιν οὔτε φύσεως οὔτε ψυχῆς ἰδίαν τινὰ νομί-
28 ζουσιν οὐσίαν ἢ δύναμιν ὑπάρχειν, || ἀλλ' ἐν τῇ ποιᾷ συνόδῳ τῶν πρώτων ἐκείνων σωμάτων τῶν ἀπαθῶν ἀποτελεῖσθαι. κατὰ δὲ τὴν προτέραν εἰρημένην αἵρεσιν οὐχ ὑστέρα τῶν σωμάτων ἡ φύσις, ἀλλὰ πολὺ προτέρα τε καὶ πρεσβυτέρα. καὶ τοίνυν κατὰ μὲν τούτους αὕτη τὰ σώματα τῶν τε φυτῶν καὶ τῶν ζῴων συνίστησι δυνάμεις τινὰς ἔχουσα τὰς μὲν ἑλκτικάς θ' ἅμα καὶ ὁμοιωτικὰς τῶν οἰκείων, τὰς δ' ἀποκριτικὰς τῶν

---

[1] Here follows a contrast between the Vitalists and the Epicurean Atomists. *cf.* p. 153 *et seq.*

[2] A unity or *continuum*, an *individuum*.

among those who have made any definite pronouncement regarding Nature. I speak, of course, of such of them as know what they are talking about, and who realize the logical sequence of their hypotheses, and stand by them; as for those who cannot understand even this, but who simply talk any nonsense that comes to their tongues, and who do not remain definitely attached either to one sect or the other—such people are not even worth mentioning.

What, then, are these sects, and what are the logical consequences of their hypotheses?[1] The one class supposes that all substance which is subject to genesis and destruction is at once *continuous*[2] and susceptible of *alteration*. The other school assumes substance to be unchangeable, unalterable, and subdivided into fine particles, which are separated from one another by empty spaces.

All people, therefore, who can appreciate the logical sequence of an hypothesis hold that, according to the second teaching, there does not exist any substance or faculty peculiar either to Nature or to Soul,[3] but that these result from the way in which the primary corpuscles,[4] which are unaffected by change, come together. According to the first-mentioned teaching, on the other hand, Nature is not posterior to the corpuscles, but is a long way prior to them and older than they; and therefore in their view it is Nature which puts together the bodies both of plants and animals; and this she does by virtue of certain faculties which she possesses—these being, on the one hand, attractive and assimilative of what is appropriate, and, on the other, expulsive or

[3] Lit. to the *physis* or the *psyche*; that is, a denial of the autonomy of physiology and psychology. [4] Lit. *somata*.

ἀλλοτρίων, καὶ τεχνικῶς ἅπαντα διαπλάττει τε γεννῶσα καὶ προνοεῖται τῶν γεννωμένων ἑτέραις αὖθίς τισι δυνάμεσι, στερκτικῇ μέν τινι καὶ προνοητικῇ τῶν ἐγγόνων, κοινωνικῇ δὲ καὶ φιλικῇ τῶν ὁμογενῶν. κατὰ δ' αὖ τοὺς ἑτέρους οὔτε τούτων οὐδὲν ὑπάρχει ταῖς φύσεσιν οὔτ' ἔννοιά τίς ἐστι τῇ ψυχῇ σύμφυτος ἐξ ἀρχῆς οὐκ ἀκολουθίας οὐ μάχης, οὐ διαιρέσεως οὐ συνθέσεως, οὐ δικαίων οὐκ ἀδίκων, οὐ καλῶν οὐκ αἰσχρῶν, ἀλλ' ἐξ αἰσθήσεώς τε καὶ δι' αἰσθήσεως ἅπαντα τὰ τοιαῦθ' ἡμῖν ἐγγίγνεσθαί φασι καὶ φαντασίαις τισὶ καὶ μνήμαις οἰακίζεσθαι τὰ ζῷα.

29 Ἔνιοι || δ' αὐτῶν καὶ ῥητῶς ἀπεφήναντο μηδεμίαν εἶναι τῆς ψυχῆς δύναμιν, ᾗ λογιζόμεθα, ἀλλ' ὑπὸ τῶν αἰσθητῶν ἄγεσθαι παθῶν ἡμᾶς καθάπερ βοσκήματα πρὸς μηδὲν ἀνανεῦσαι μηδ' ἀντειπεῖν δυναμένους. καθ' οὓς δηλονότι καὶ ἀνδρεία καὶ φρόνησις καὶ σωφροσύνη καὶ ἐγκράτεια λῆρός ἐστι μακρὸς καὶ φιλοῦμεν οὔτ' ἀλλήλους οὔτε τὰ ἔγγονα καὶ τοῖς θεοῖς οὐδὲν ἡμῶν μέλει. καταφρονοῦσι δὲ καὶ τῶν ὀνειράτων καὶ τῶν οἰωνῶν καὶ τῶν συμβόλων καὶ πάσης ἀστρολογίας, ὑπὲρ ὧν ἡμεῖς μὲν ἰδίᾳ δι' ἑτέρων γραμμάτων ἐπὶ πλέον ἐσκεψάμεθα περὶ τῶν Ἀσκληπιάδου τοῦ ἰατροῦ σκοπούμενοι δογμάτων. ἔνεστι δὲ τοῖς βουλομένοις κἀκείνοις μὲν ὁμιλῆσαι τοῖς λόγοις καὶ νῦν δ' ἤδη σκοπεῖν, ὥσπερ τινῶν δυοῖν ὁδῶν ἡμῖν προκειμένων, ὁποτέραν βέλτιόν ἐστι τρέπεσθαι. Ἱπποκράτης μὲν γὰρ τὴν προτέραν ῥηθεῖσαν ἐτράπετο, καθ' ἣν ἥνωται μὲν ἡ οὐσία καὶ ἀλλοιοῦται καὶ σύμπνουν ὅλον ἐστὶ καὶ σύρρουν τὸ

what is foreign. Further, she skilfully moulds everything during the stage of genesis; and she also provides for the creatures after birth, employing here other faculties again, namely, one of affection and forethought for offspring, and one of sociability and friendship for kindred. According to the other school, none of these things exist in the natures[1] [of living things], nor is there in the soul any original innate idea, whether of agreement or difference, of separation or synthesis, of justice or injustice, of the beautiful or ugly; all such things, they say, arise in us *from sensation and through sensation*, and animals are steered by certain images and memories.

Some of these people have even expressly declared that the soul possesses no reasoning faculty, but that we are led like cattle by the impression of our senses, and are unable to refuse or dissent from anything. In their view, obviously, courage, wisdom, temperance, and self-control are all mere nonsense, we do not love either each other or our offspring, nor do the gods care anything for us. This school also despises dreams, birds, omens, and the whole of astrology, subjects with which we have dealt at greater length in another work,[2] in which we discuss the views of Asclepiades the physician.[3] Those who wish to do so may familiarize themselves with these arguments, and they may also consider at this point which of the two roads lying before us is the better one to take. Hippocrates took the first-mentioned. According to this teaching, substance is one and is subject to *alteration*; there is a consensus in the move-

[1] For "natures" in the plural, involving the idea of a separate nature immanent in each individual, *cf.* p. 36, note 1.

[2] A lost work.

[3] For Asclepiades *v.* p. 40, note 5.

σῶμα καὶ ἡ φύσις ἅπαντα τεχνικῶς καὶ δικαίως
πράττει δυνάμεις ἔχουσα, καθ' ἃς ἕκαστον τῶν
30 μορίων ἕλκει μὲν || ἐφ' ἑαυτὸ τὸν οἰκεῖον ἑαυτῷ
χυμόν, ἕλξαν δὲ προσφύει τε παντὶ μέρει τῶν ἐν
αὑτῷ καὶ τελέως ἐξομοιοῖ, τὸ δὲ μὴ κρατηθὲν ἐν
τούτῳ μηδὲ τὴν παντελῆ δυνηθὲν ἀλλοίωσίν τε
καὶ ὁμοιότητα τοῦ τρεφομένου καταδέξασθαι δι'
ἑτέρας αὖ τινος ἐκκριτικῆς δυνάμεως ἀποτρίβεται.

## XIII

Μαθεῖν δ' ἔνεστιν οὐ μόνον ἐξ ὧν οἱ τἀναντία τιθέμενοι διαφέρονται τοῖς ἐναργῶς φαινομένοις, εἰς ὅσον ὀρθότητός τε καὶ ἀληθείας ἥκει τὰ Ἱπποκράτους δόγματα, ἀλλὰ κἀξ αὐτῶν τῶν κατὰ μέρος ἐν τῇ φυσικῇ θεωρίᾳ ζητουμένων τῶν τ' ἄλλων ἁπάντων καὶ τῶν ἐν τοῖς ζῴοις ἐνεργειῶν. ὅσοι γὰρ οὐδεμίαν οὐδενὶ μορίῳ νομίζουσιν ὑπάρχειν ἑλκτικὴν τῆς οἰκείας ποιότητος δύναμιν, ἀναγκάζονται πολλάκις ἐναντία λέγειν τοῖς ἐναργῶς φαινομένοις, ὥσπερ καὶ Ἀσκληπιάδης ὁ ἰατρὸς ἐπὶ τῶν νεφρῶν ἐποίησεν, οὓς οὐ μόνον Ἱπποκράτης ἢ Διοκλῆς ἢ Ἐρασίστρατος ἢ

---

[1] "Le corps tout entier a unité de souffle (*perspiration et expiration*) et unité de flux (*courants, circulation des liquides*)" (Daremberg). "Conspirabile et confluxile corpus esse" (Linacre). Apparently Galen refers to the pneuma and the various humours. *cf.* p. 293, note 2.

[2] *i.e.* "appropriated"; very nearly "assimilated."

ments of air and fluid throughout the whole body;[1] Nature acts throughout in an artistic and equitable manner, having certain faculties, by virtue of which each part of the body draws to itself the juice which is proper to it, and, having done so, attaches it to every portion of itself, and completely assimilates it; while such part of the juice as has not been mastered,[2] and is not capable of undergoing complete alteration and being assimilated to the part which is being nourished, is got rid of by yet another (an expulsive) faculty.

## XIII

Now the extent of exactitude and truth in the doctrines of Hippocrates may be gauged, not merely from the way in which his opponents are at variance with obvious facts, but also from the various subjects of natural research themselves—the functions of animals, and the rest. For those people who do not believe that there exists in any part of the animal a faculty for attracting *its own special quality*[3] are compelled repeatedly to deny obvious facts.[4] For instance, Asclepiades, the physician,[5] did this in the case of the kidneys. That these are organs for secreting [separating out] the urine, was the belief not only of Hippocrates, Diocles,

[3] "Attractricem convenientis qualitatis vim" (Linacre). *cf.* p. 36, note 2. [4] Lit. "obvious phenomena."

[5] Asclepiades of Bithynia, who flourished in the first half of the first century B.C., was an adherent of the atomistic philosophy of Democritus, and is the typical representative of the Mechanistic school in Graeco-Roman medicine; he disbelieved in any principle of individuality ("nature") in the organism, and his methods of treatment, in accordance with his pathology, were mechano-therapeutical. *cf.* p. 64, note 3.

Πραξαγόρας ἤ τις ἄλλος ἰατρὸς ἄριστος ὄργανα διακριτικὰ τῶν οὔρων πεπιστεύκασιν ὑπάρχειν,
31 ἀλλὰ καὶ οἱ || μάγειροι σχεδὸν ἅπαντες ἴσασιν, ὁσημέραι θεώμενοι τήν τε θέσιν αὐτῶν καὶ τὸν ἀφ᾽ ἑκατέρου πόρον εἰς τὴν κύστιν ἐμβάλλοντα, τὸν οὐρητῆρα καλούμενον, ἐξ αὐτῆς τῆς κατασκευῆς ἀναλογιζόμενοι τήν τε χρείαν αὐτῶν καὶ τὴν δύναμιν. καὶ πρό γε τῶν μαγείρων ἅπαντες ἄνθρωποι καὶ δυσουροῦντες πολλάκις καὶ παντάπασιν ἰσχουροῦντες, ὅταν ἀλγῶσι μὲν τὰ κατὰ τὰς ψόας, ψαμμώδη δ᾽ ἐξουρῶσιν, νεφριτικοὺς ὀνομάζουσι σφᾶς αὐτούς.

Ἀσκληπιάδην δ᾽ οἶμαι μηδὲ λίθον οὐρηθέντα ποτὲ θεάσασθαι πρὸς τῶν οὕτω πασχόντων μηδ᾽ ὡς προηγήσατο κατὰ τὴν μεταξὺ τῶν νεφρῶν καὶ τῆς κύστεως χώραν ὀδύνη τις ὀξεῖα διερχομένου τοῦ λίθου τὸν οὐρητῆρα μηδ᾽ ὡς οὐρηθέντος αὐτοῦ τά τε τῆς ὀδύνης καὶ τὰ τῆς ἰσχουρίας ἐπαύσατο παραχρῆμα. πῶς οὖν εἰς τὴν κύστιν τῷ λόγῳ παράγει τὸ οὖρον, ἄξιον ἀκοῦσαι καὶ θαυμάσαι τἀνδρὸς τὴν σοφίαν, ὃς καταλιπὼν οὕτως εὐρείας ὁδοὺς ἐναργῶς φαινομένας ἀφανεῖς
32 καὶ στενὰς καὶ παντάπασιν ἀναισθήτους || ὑπέθετο. βούλεται γὰρ εἰς ἀτμοὺς ἀναλυόμενον τὸ πινόμενον ὑγρὸν εἰς τὴν κύστιν διαδίδοσθαι κἄπειτ᾽ ἐξ ἐκείνων αὖθις ἀλλήλοις συνιόντων οὕτως ἀπολαμβάνειν αὐτὸ τὴν ἀρχαίαν ἰδέαν καὶ γίγνεσθαι πάλιν ὑγρὸν ἐξ ἀτμῶν ἀτεχνῶς ὡς περὶ σπογγιᾶς τινος ἢ ἐρίου τῆς κύστεως διανοούμενος, ἀλλ᾽ οὐ σώματος ἀκριβῶς πυκνοῦ καὶ στεγανοῦ δύο χιτῶνας ἰσχυροτάτους κεκτημένου,

Erasistratus, Praxagoras,[1] and all other physicians of eminence, but practically every butcher is aware of this, from the fact that he daily observes both the position of the kidneys and the duct (termed the ureter) which runs from each kidney into the bladder, and from this arrangement he infers their characteristic use and faculty. But, even leaving the butchers aside, all people who suffer either from frequent dysuria or from retention of urine call themselves "nephritics,"[2] when they feel pain in the loins and pass sandy matter in their water.

I do not suppose that Asclepiades ever saw a stone which had been passed by one of these sufferers, or observed that this was preceded by a sharp pain in the region between kidneys and bladder as the stone traversed the ureter, or that, when the stone was passed, both the pain and the retention at once ceased. It is worth while, then, learning how his theory accounts for the presence of urine in the bladder, and one is forced to marvel at the ingenuity of a man who puts aside these broad, clearly visible routes,[3] and postulates others which are narrow, invisible—indeed, entirely imperceptible. His view, in fact, is that the fluid which we drink passes into the bladder by being resolved into vapours, and that, when these have been again condensed, it thus regains its previous form, and turns from vapour into fluid. He simply looks upon the bladder as a sponge or a piece of wool, and not as the perfectly compact and impervious body that it is, with two very

[1] Diocles of Carystus was the chief representative of the Dogmatic or Hippocratic school in the first half of the fourth century B.C. Praxagoras was his disciple, and followed him in the leadership of the school. For Erasistratus, *cf.* p. 95 *et seq.*

[2] Sufferers from kidney-trouble.

[3] The ureters.

δι' ὧν εἴπερ διέρχεσθαι φήσομεν τοὺς ἀτμούς, τί δήποτ' οὐχὶ διὰ τοῦ περιτοναίου καὶ τῶν φρενῶν διελθόντες ἐνέπλησαν ὕδατος τό τ' ἐπιγάστριον ἅπαν καὶ τὸν θώρακα; ἀλλὰ παχύτερος, φησίν, ἐστὶ δηλαδὴ καὶ στεγανώτερος ὁ περιτόναιος χιτὼν τῆς κύστεως καὶ διὰ τοῦτ' ἐκεῖνος μὲν ἀποστέγει τοὺς ἀτμούς, ἡ δὲ κύστις παραδέχεται. ἀλλ' εἴπερ ἀνατετμήκει ποτέ, τάχ' ἂν ἠπίστατο τὸν μὲν ἔξωθεν χιτῶνα τῆς κύστεως ἀπὸ τοῦ περιτοναίου πεφυκότα τὴν αὐτὴν ἐκείνῳ φύσιν ἔχειν, τὸν δ' ἔνδοθεν τὸν αὐτῆς τῆς κύστεως ἴδιον πλέον ἢ διπλάσιον ἐκείνου τὸ πάχος ὑπάρχειν.

33 Ἀλλ' ἴσως οὔτε τὸ || πάχος οὔθ' ἡ λεπτότης τῶν χιτώνων, ἀλλ' ἡ θέσις τῆς κύστεως αἰτία τοῦ φέρεσθαι τοὺς ἀτμοὺς εἰς αὐτήν. καὶ μὴν εἰ καὶ διὰ τἆλλα πάντα πιθανὸν ἦν αὐτοὺς ἐνταυθοῖ συναθροίζεσθαι, τό γε τῆς θέσεως μόνης αὔταρκες κωλῦσαι. κάτω μὲν γὰρ ἡ κύστις κεῖται, τοῖς δ' ἀτμοῖς σύμφυτος ἡ πρὸς τὸ μετέωρον φορά, ὥστε πολὺ πρότερον ἂν ἔπλησαν ἅπαντα τὰ κατὰ τὸν θώρακά τε καὶ τὸν πνεύμονα, πρὶν ἐπὶ τὴν κύστιν ἀφικέσθαι.

Καίτοι τί θέσεως κύστεως καὶ περιτοναίου καὶ θώρακος μνημονεύω; διεκπεσόντες γὰρ δήπου τούς τε τῆς κοιλίας καὶ τῶν ἐντέρων χιτῶνας οἱ ἀτμοὶ κατὰ τὴν μεταξὺ χώραν αὐτῶν τε τούτων καὶ τοῦ περιτοναίου συναθροισθήσονται καὶ ὑγρὸν ἐνταυθοῖ γενήσονται, ὥσπερ καὶ τοῖς ὑδερικοῖς ἐν τούτῳ τῷ χωρίῳ τὸ πλεῖστον ἀθροίζεται τοῦ

---

[1] Unless otherwise stated, "peritoneum" stands for parietal peritoneum alone.

strong coats. For if we say that the vapours pass through these coats, why should they not pass through the peritoneum[1] and the diaphragm, thus filling the whole abdominal cavity and thorax with water? "But," says he, "of course the peritoneal coat is more impervious than the bladder, and this is why it keeps out the vapours, while the bladder admits them." Yet if he had ever practised anatomy, he might have known that the outer coat of the bladder springs from the peritoneum and is essentially the same as it, and that the inner coat, which is peculiar to the bladder, is more than twice as thick as the former.

Perhaps, however, it is not the thickness or thinness of the coats, but the *situation* of the bladder, which is the reason for the vapours being carried into it? On the contrary, even if it were probable for every other reason that the vapours accumulate there, yet the situation of the bladder would be enough in itself to prevent this. For the bladder is situated below, whereas vapours have a natural tendency to rise upwards; thus they would fill all the region of the thorax and lungs long before they came to the bladder.

But why do I mention the situation of the bladder, peritoneum, and thorax? For surely, when the vapours have passed through the coats of the stomach and intestines, it is in the space between these and the peritoneum[2] that they will collect and become liquefied (just as in dropsical subjects it is in this region that most of the water gathers).[3] Otherwise the vapours must necessarily pass straight forward

[2] In the peritoneal cavity.
[3] Contrast, however, *anasarca*, p. 41.

ὕδατος, ἢ πάντως αὐτοὺς χρὴ φέρεσθαι πρόσω διὰ πάντων τῶν ὁπωσοῦν ὁμιλούντων καὶ μηδέποθ' ἵστασθαι. ἀλλ' εἰ καὶ τοῦτό τις ὑπόθοιτο, διεκπεσόντες ἂν οὕτως οὐ τὸ περιτόναιον μόνον ἀλλὰ καὶ τὸ ἐπιγάστριον, εἰς τὸ περιέχον σκε-
34 δασθεῖεν ἢ πάντως ἂν ὑπὸ τῷ δέρματι || συναθροισθεῖεν.

Ἀλλὰ καὶ πρὸς ταῦτ' ἀντιλέγειν οἱ νῦν Ἀσκληπιάδειοι πειρῶνται, καίτοι πρὸς ἁπάντων ἀεὶ τῶν παρατυγχανόντων αὐτοῖς, ὅταν περὶ τούτων ἐρίζωσι, καταγελώμενοι. οὕτως ἄρα δυσαπότριπτόν τι κακόν ἐστιν ἡ περὶ τὰς αἱρέσεις φιλοτιμία καὶ δυσέκνιπτον ἐν τοῖς μάλιστα καὶ ψώρας ἁπάσης δυσιατότερον.

Τῶν γοῦν καθ' ἡμᾶς τις σοφιστῶν τά τ' ἄλλα καὶ περὶ τοὺς ἐριστικοὺς λόγους ἱκανῶς συγκεκροτημένος καὶ δεινὸς εἰπεῖν, εἴπερ τις ἄλλος, ἀφικόμενος ἐμοί ποθ' ὑπὲρ τούτων εἰς λόγους, τοσοῦτον ἀπέδει τοῦ δυσωπεῖσθαι πρός τινος τῶν εἰρημένων, ὥστε καὶ θαυμάζειν ἔφασκεν ἐμοῦ τὰ σαφῶς φαινόμενα λόγοις ληρώδεσιν ἀνατρέπειν ἐπιχειροῦντος. ἐναργῶς γὰρ ὁσημέραι θεωρεῖσθαι τὰς κύστεις ἁπάσας, εἴ τις αὐτὰς ἐμπλήσειεν ὕδατος ἢ ἀέρος, εἶτα δήσας τὸν τράχηλον πιέζοι πανταχόθεν, οὐδαμόθεν μεθιείσας οὐδέν, ἀλλ' ἀκριβῶς ἅπαν ἐντὸς ἑαυτῶν στεγούσας. καίτοι γ' εἴπερ ἦσάν τινες ἐκ τῶν νεφρῶν εἰς αὐτὰς ἥκοντες αἰσθητοὶ καὶ μεγάλοι πόροι, πάντως ἄν, ἔφη, δι' ἐκείνων, ὥσπερ εἰσῄει
35 τὸ || ὑγρὸν εἰς αὐτάς, οὕτω καὶ θλιβόντων ἐξεκρίνετο. ταῦτα καὶ τὰ τοιαῦτ' εἰπὼν ἐξαίφνης

through everything which in any way comes in contact with them, and will never come to a standstill. But, if this be assumed, then they will traverse not merely the peritoneum but also the epigastrium, and will become dispersed into the surrounding air; otherwise they will certainly collect under the skin.

Even these considerations, however, our present-day Asclepiadeans attempt to answer, despite the fact that they always get soundly laughed at by all who happen to be present at their disputations on these subjects—so difficult an evil to get rid of is this sectarian partizanship, so excessively resistant to all cleansing processes, harder to heal than any itch!

Thus, one of our Sophists who is a thoroughly hardened disputer and as skilful a master of language as there ever was, once got into a discussion with me on this subject; so far from being put out of countenance by any of the above-mentioned considerations, he even expressed his surprise that I should try to overturn obvious facts by ridiculous arguments! "For," said he, "one may clearly observe any day in the case of any bladder, that, if one fills it with water or air and then ties up its neck and squeezes it all round, it does not let anything out at any point, but accurately retains all its contents. And surely," said he, "if there were any large and perceptible channels coming into it from the kidneys the liquid would run out through these when the bladder was squeezed, in the same way that it entered?"[1] Having abruptly made these and

[1] Regurgitation, however, is prevented by the fact that the ureter runs for nearly one inch obliquely through the bladder wall before opening into its cavity, and thus an efficient *valve* is produced.

*ἀπταίστῳ καὶ σαφεῖ τῷ στόματι τελευτῶν ἀναπηδήσας ἀπῄει καταλιπὼν ἡμᾶς ὡς οὐδὲ πιθανῆς τινος ἀντιλογίας εὐπορῆσαι δυναμένους.*

Οὕτως οὐ μόνον ὑγιὲς οὐδὲν ἴσασιν οἱ ταῖς *αἱρέσεσι δουλεύοντες, ἀλλ' οὐδὲ μαθεῖν ὑπομένουσι. δέον γὰρ ἀκοῦσαι τὴν αἰτίαν, δι' ἣν εἰσιέναι μὲν δύναται διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν τὸ ὑγρόν, ἐξιέναι δ' αὖθις ὀπίσω τὴν αὐτὴν ὁδὸν οὐκέθ' οἷόν τε, καὶ θαυμάσαι τὴν τέχνην τῆς φύσεως, οὔτε μαθεῖν ἐθέλουσι καὶ λοιδοροῦνται προσέτι μάτην ὑπ' αὐτῆς ἄλλα τε πολλὰ καὶ τοὺς νεφροὺς γεγονέναι φάσκοντες. εἰσὶ δ' οἳ καὶ δειχθῆναι παρόντων αὐτῶν τοὺς ἀπὸ τῶν νεφρῶν εἰς τὴν κύστιν ἐμφυομένους οὐρητῆρας ὑπομείναντες ἐτόλμησαν εἰπεῖν οἱ μέν, ὅτι μάτην καὶ οὗτοι γεγόνασιν, οἱ δ', ὅτι σπερματικοί τινές εἰσι πόροι καὶ διὰ τοῦτο κατὰ τὸν τράχηλον αὐτῆς, οὐκ εἰς τὸ κύτος ἐμφύονται. δείξαντες οὖν ἡμεῖς αὐτοῖς τοὺς ὡς ἀληθῶς σπερματικοὺς πόρους κατωτέρω τῶν οὐρητήρων ||*
36 *ἐμβάλλοντας εἰς τὸν τράχηλον, νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, ᾠήθημεν ἀπάξειν τε τῶν ψευδῶς ὑπειλημμένων ἐπί τε τἀναντία μεταστήσειν αὐτίκα. οἱ δὲ καὶ πρὸς τοῦτ' ἀντιλέγειν ἐτόλμων οὐδὲν εἶναι θαυμαστὸν εἰπόντες, ἐν ἐκείνοις μὲν ὡς ἂν στεγανωτέροις οὖσιν ἐπὶ πλέον ὑπομένειν τὸ σπέρμα, κατὰ δὲ τοὺς ἀπὸ τῶν νεφρῶν ὡς ἂν ἱκανῶς ἀνευρυσμένους ἐκρεῖν διὰ ταχέων. ἡμεῖς*

---

[1] On the *τέχνη* (artistic or creative skill) shown by the living organism (*φύσις*) *v.* pp. 25, 45, 47; Introduction, p. xxix.

[2] Direct denial of Aristotle's dictum that "Nature does nothing in vain." We are reminded of the view of certain

similar remarks in precise and clear tones, he concluded by jumping up and departing—leaving me as though I were quite incapable of finding any plausible answer!

The fact is that those who are enslaved to their sects are not merely devoid of all sound knowledge, but they will not even stop to learn! Instead of listening, as they ought, to the reason why liquid can enter the bladder through the ureters, but is unable to go back again the same way,—instead of admiring Nature's artistic skill [1]—they refuse to learn; they even go so far as to scoff, and maintain that the kidneys, as well as many other things, have been made by Nature *for no purpose!* [2] And some of them who had allowed themselves to be shown the ureters coming from the kidneys and becoming implanted in the bladder, even had the audacity to say that these also existed for no purpose; and others said that they were spermatic ducts, and that this was why they were inserted into the neck of the bladder and not into its cavity. When, therefore, we had demonstrated to them the real spermatic ducts [3] entering the neck of the bladder lower down than the ureters, we supposed that, if we had not done so before, we would now at least draw them away from their false assumptions, and convert them forthwith to the opposite view. But even this they presumed to dispute, and said that it was not to be wondered at that the semen should remain longer in these latter ducts, these being more constricted, and that it should flow quickly down the ducts which came from the kidneys, seeing that these were

modern laboratory physicians and surgeons that the *colon* is a "useless" organ. *cf.* Erasistratus, p. 143.

[3] The *vasa deferentia.*



temper

*οὖν ἠναγκάσθημεν αὐτοῖς τοῦ λοιποῦ δεικνύειν εἰσρέον τῇ κύστει διὰ τῶν οὐρητήρων τὸ οὖρον ἐναργῶς ἐπὶ ζῶντος ἔτι τοῦ ζῴου, μόγις ἂν οὕτω ποτὲ τὴν φλυαρίαν αὐτῶν ἐπισχήσειν ἐλπίζοντες.*

*Ὁ δὲ τρόπος τῆς δείξεώς ἐστι τοιόσδε. διελεῖν χρὴ τὸ πρὸ τῶν οὐρητήρων περιτόναιον, εἶτα βρόχοις αὐτοὺς ἐκλαβεῖν κἄπειτ᾿ ἐπιδήσαντας ἐᾶσαι τὸ ζῷον· οὐ γὰρ ἂν οὐρήσειεν ἔτι. μετὰ δὲ ταῦτα λύειν μὲν τοὺς ἔξωθεν δεσμούς, δεικνύναι δὲ κενὴν μὲν τὴν κύστιν, μεστοὺς δ᾿ ἱκανῶς καὶ διατεταμένους τοὺς οὐρητῆρας καὶ κινδυνεύοντας ῥαγῆναι κἄπειτα τοὺς βρόχους αὐτῶν ἀφελόντας ἐναργῶς ὁρᾶν ἤδη πληρουμένην οὔρου τὴν κύστιν.*

37 *Ἐπὶ δὲ τούτῳ ‖ φανέντι, πρὶν οὐρῆσαι τὸ ζῷον, βρόχον αὐτοῦ περιβαλεῖν χρὴ τῷ αἰδοίῳ κἄπειτα θλίβειν πανταχόθεν τὴν κύστιν. οὐδὲ γὰρ ἂν οὐδὲν ἔτι διὰ τῶν οὐρητήρων ἐπανέλθοι πρὸς τοὺς νεφρούς. κἀν τούτῳ δῆλον γίγνεται τὸ μὴ μόνον ἐπὶ τεθνεῶτος ἀλλὰ καὶ περιόντος ἔτι τοῦ ζῴου κωλύεσθαι μεταλαμβάνειν αὖθις ἐκ τῆς κύστεως τοὺς οὐρητῆρας τὸ οὖρον. ἐπὶ τούτοις ὀφθεῖσιν ἐπιτρέπειν ἤδη τὸ ζῷον οὐρεῖν λύοντας αὐτοῦ τὸν ἐπὶ τῷ αἰδοίῳ βρόχον, εἶτ᾿ αὖθις ἐπιβαλεῖν μὲν θατέρῳ τῶν οὐρητήρων, ἐᾶσαι δὲ τὸν ἕτερον εἰς τὴν κύστιν συρρεῖν καί τινα διαλιπόντας χρόνον ἐπιδεικνύειν ἤδη, πῶς ὁ μὲν ἕτερος αὐτῶν ὁ δεδεμένος μεστὸς καὶ διατεταμένος κατὰ τὰ πρὸς τῶν νεφρῶν μέρη φαίνεται, ὁ δ᾿ ἕτερος ὁ λελυμένος αὐτὸς μὲν χαλαρός ἐστι, πεπλήρωκε δ᾿ οὔρου τὴν κύστιν. εἶτ᾿ αὖθις διατεμεῖν πρῶτον μὲν τὸν πλήρη καὶ δεῖξαι, πῶς ἐξακοντίζεται τὸ*

well dilated. We were, therefore, further compelled to show them in a still living animal, the urine plainly running out through the ureters into the bladder; even thus we hardly hoped to check their nonsensical talk.

Now the method of demonstration is as follows. One has to divide the peritoneum in front of the ureters, then secure these with ligatures, and next, having bandaged up the animal, let him go (for he will not continue to urinate). After this one loosens the external bandages and shows the bladder empty and the ureters quite full and distended—in fact almost on the point of rupturing; on removing the ligature from them, one then plainly sees the bladder becoming filled with urine.

When this has been made quite clear, then, before the animal urinates, one has to tie a ligature round his penis and then to squeeze the bladder all over; still nothing goes back through the ureters to the kidneys. Here, then, it becomes obvious that not only in a dead animal, but in one which is still living, the ureters are prevented from receiving back the urine from the bladder. These observations having been made, one now loosens the ligature from the animal's penis and allows him to urinate, then again ligatures one of the ureters and leaves the other to discharge into the bladder. Allowing, then, some time to elapse, one now demonstrates that the ureter which was ligatured is obviously full and distended on the side next to the kidneys, while the other one—that from which the ligature had been taken—is itself flaccid, but has filled the bladder with urine. Then, again, one must divide the full ureter, and demonstrate how

οὖρον ἐξ αὐτοῦ, καθάπερ ἐν ταῖς φλεβοτομίαις
τὸ αἷμα, μετὰ ταῦτα δὲ καὶ τὸν ἕτερον αὖθις
διατεμεῖν κἄπειτ' ἐπιδῆσαι τὸ ζῷον ἔξωθεν, ἀμ-
38 φοτέρων διῃρημένων, || εἶθ' ὅταν ἱκανῶς ἔχειν
δοκῇ, λῦσαι τὸν δεσμόν. εὑρεθήσεται γὰρ ἡ μὲν
κύστις κενή, πλῆρες δ' οὔρου τὸ μεταξὺ τῶν
ἐντέρων τε καὶ τοῦ περιτοναίου χωρίον ἅπαν,
ὡς ἂν εἰ καὶ ὑδερικὸν ἦν τὸ ζῷον. ταῦτ' οὖν εἴ
τις αὐτὸς καθ' ἑαυτὸν βουληθείη βασανίζειν ἐπὶ
ζῴου, μεγάλως μοι δοκεῖ καταγνώσεσθαι τῆς
Ἀσκληπιάδου προπετείας. εἰ δὲ δὴ καὶ τὴν
αἰτίαν μάθοι, δι' ἣν οὐδὲν ἐκ τῆς κύστεως εἰς
τοὺς οὐρητῆρας ἀντεκρεῖ, πεισθῆναι ἄν μοι δοκεῖ
καὶ διὰ τοῦδε τὴν εἰς τὰ ζῷα πρόνοιάν τε καὶ
τέχνην τῆς φύσεως.

Ἱπποκράτης μὲν οὖν ὧν ἴσμεν ἰατρῶν τε καὶ
φιλοσόφων πρῶτος ἁπάντων, ὡς ἂν καὶ πρῶτος
ἐπιγνοὺς τὰ τῆς φύσεως ἔργα, θαυμάζει τε καὶ
διὰ παντὸς αὐτὴν ὑμνεῖ δικαίαν ὀνομάζων καὶ
μόνην ἐξαρκεῖν εἰς ἅπαντα τοῖς ζῴοις φησίν,
αὐτὴν ἐξ αὑτῆς ἀδιδάκτως πράττουσαν ἅπαντα
τὰ δέοντα· τοιαύτην δ' οὖσαν αὐτὴν εὐθέως
καὶ δυνάμεις ὑπέλαβεν ἔχειν ἑλκτικὴν μὲν τῶν
οἰκείων, ἀποκριτικὴν δὲ τῶν ἀλλοτρίων καὶ
39 τρέφειν τε καὶ αὔξειν αὐ||τὴν τὰ ζῷα καὶ κρίνειν
τὰ νοσήματα· καὶ διὰ τοῦτ' ἐν τοῖς σώμασιν
ἡμῶν σύμπνοιάν τε μίαν εἶναί φησι καὶ σύρροιαν
καὶ πάντα συμπαθέα· κατὰ δὲ τὸν Ἀσκληπιάδην

---

[1] "De l'habileté et de la prévoyance de la nature à l'égard des animaux" (Daremberg). *cf.* p. 56, note 1.

[2] *cf.* p. 36, note 2.

the urine spurts out of it, like blood in the operation of venesection; and after this one cuts through the other also, and both being thus divided, one bandages up the animal externally. Then when enough time seems to have elapsed, one takes off the bandages; the bladder will now be found empty, and the whole region between the intestines and the peritoneum full of urine, as if the animal were suffering from dropsy. Now, if anyone will but test this for himself on an animal, I think he will strongly condemn the rashness of Asclepiades, and if he also learns the reason why nothing regurgitates from the bladder into the ureters, I think he will be persuaded by this also of the forethought and art shown by Nature in relation to animals.[1]

Now Hippocrates, who was the first known to us of all those who have been both physicians and philosophers inasmuch as he was the first to recognize what Nature effects, expresses his admiration of her, and is constantly singing her praises and calling her "just." Alone, he says, she suffices for the animal in every respect, performing of her own accord and without any teaching all that is required. Being such, she has, as he supposes, certain *faculties*, one attractive of what is appropriate,[2] and another eliminative of what is foreign, and she nourishes the animal, makes it grow, and expels its diseases by crisis.[3] Therefore he says that there is in our bodies a concordance in the movements of air and fluid, and that everything is in sympathy. According to Asclepiades, however, nothing is

[3] The morbid material passed successively through the stages of "crudity," "coction" (*pepsis*), and "elimination" (*crisis*). For "critical days" *cf.* p. 74, note 1.

*οὐδὲν οὐδενὶ συμπαθές ἐστι φύσει, διῃρημένης τε καὶ κατατεθραυσμένης εἰς ἄναρμα στοιχεῖα καὶ ληρώδεις ὄγκους ἁπάσης τῆς οὐσίας. ἐξ ἀνάγκης οὖν ἄλλα τε μυρία τοῖς ἐναργῶς φαινομένοις ἐναντίως ἀπεφήνατο καὶ τῆς φύσεως ἠγνόησε τήν τε τῶν οἰκείων ἐπισπαστικὴν δύναμιν καὶ τὴν τῶν ἀλλοτρίων ἀποκριτικήν. ἐπὶ μὲν οὖν τῆς ἐξαιματώσεώς τε καὶ ἀναδόσεως ἐξεῦρέ τινα ψυχρὰν ἀδολεσχίαν· εἰς δὲ τὴν τῶν περιττωμάτων κάθαρσιν οὐδὲν ὅλως εὑρὼν εἰπεῖν οὐκ ὤκνησεν ὁμόσε χωρῆσαι τοῖς φαινομένοις, ἐπὶ μὲν τῆς τῶν οὔρων διακρίσεως ἀποστερήσας μὲν τῶν τε νεφρῶν καὶ τῶν οὐρητήρων τὴν ἐνέργειαν, ἀδήλους δέ τινας πόρους εἰς τὴν κύστιν ὑποθέμενος· τοῦτο γὰρ ἦν δηλαδὴ μέγα καὶ σεμνὸν ἀπιστήσαντα τοῖς φαινομένοις πιστεῦσαι τοῖς ἀδήλοις.*

40 *Ἐπὶ ‖ δὲ τῆς ξανθῆς χολῆς ἔτι μεῖζον αὐτῷ καὶ νεανικώτερόν ἐστι τὸ τόλμημα· γεννᾶσθαι γὰρ αὐτὴν ἐν τοῖς χοληδόχοις ἀγγείοις, οὐ διακρίνεσθαι λέγει.*

Πῶς *οὖν τοῖς ἰκτερικοῖς ἅμ' ἄμφω συμπίπτει, τὰ μὲν διαχωρήματα μηδὲν ὅλως ἐν αὑτοῖς ἔχοντα χολῆς, ἀνάπλεων δ' αὐτοῖς γιγνόμενον ὅλον τὸ σῶμα; ληρεῖν πάλιν ἐνταῦθ' ἀναγκάζεται τοῖς ἐπὶ τῶν οὔρων εἰρημένοις παραπλησίως. ληρεῖ δ' οὐδὲν ἧττον καὶ περὶ τῆς μελαίνης χολῆς καὶ τοῦ σπληνὸς οὔτε τί ποθ' ὑφ'* Ἱπποκράτους *εἴρηται συνιεὶς ἀντιλέγειν τ' ἐπιχειρῶν οἷς οὐκ οἶδεν ἐμπλήκτῳ τινὶ καὶ μανικῷ στόματι.*

---

[1] This was the process by which nutriment was taken up from the alimentary canal; "absorption," "dispersal;" *cf.*

naturally in sympathy with anything else, all substance being divided and broken up into inharmonious elements and absurd "molecules." Necessarily, then, besides making countless other statements in opposition to plain fact, he was ignorant of Nature's faculties, both that attracting what is appropriate, and that expelling what is foreign. Thus he invented some wretched nonsense to explain blood-production and *anadosis*,[1] and, being utterly unable to find anything to say regarding the clearing-out[2] of superfluities, he did not hesitate to join issue with obvious facts, and, in this matter of urinary secretion, to deprive both the kidneys and the ureters of their activity, by assuming that there were certain invisible channels opening into the bladder. It was, of course, a grand and impressive thing to do, to mistrust the obvious, and to pin one's faith in things which could not be seen!

Also, in the matter of the yellow bile, he makes an even grander and more spirited venture; for he says this is actually generated in the bile-ducts, not merely separated out.

How comes it, then, that in cases of jaundice two things happen at the same time—that the dejections contain absolutely no bile, and that the whole body becomes full of it? He is forced here again to talk nonsense, just as he did in regard to the urine. He also talks no less nonsense about the black bile and the spleen, not understanding what was said by Hippocrates; and he attempts in stupid—I might say insane—language, to contradict what he knows nothing about.

p. 13, note 5. The subject is dealt with more fully in chap. xvi.

[2] Lit. *catharsis.*

Τί δὴ τὸ κέρδος ἐκ τῶν τοιούτων δογμάτων εἰς τὰς θεραπείας ἐκτήσατο; μήτε νεφριτικόν τι νόσημα δύνασθαι θεραπεῦσαι μήτ' ἰκτερικὸν μήτε μελαγχολικόν, ἀλλὰ καὶ περὶ τοῦ πᾶσιν ἀνθρώποις οὐχ Ἱπποκράτει μόνον ὁμολογουμένου τοῦ καθαίρειν τῶν φαρμάκων ἔνια μὲν τὴν ξανθὴν χολήν, ἔνια δὲ τὴν μέλαιναν, ἄλλα δέ τινα φλέγμα καί τινα τὸ λεπτὸν καὶ ὑδατῶδες περίττωμα, μηδὲ περὶ τούτων συγχωρεῖν, ἀλλ' ὑπ' αὐτῶν τῶν φαρμάκων γίγνεσθαι λέγειν τοιοῦτον ἕκαστον
41 τῶν κενουμένων, ὥσπερ ὑπὸ τῶν χολη‖δόχων πόρων τὴν χολήν· καὶ μηδὲν διαφέρειν κατὰ τὸν θαυμαστὸν Ἀσκληπιάδην ἢ ὑδραγωγὸν διδόναι τοῖς ὑδεριῶσιν ἢ χολαγωγὸν φάρμακον· ἅπαντα γὰρ ὁμοίως κενοῦν καὶ συντήκειν τὸ σῶμα καὶ τὸ σύντηγμα τοιόνδε τι φαίνεσθαι ποιεῖν, μὴ πρότερον ὑπάρχον τοιοῦτον.

Ἆρ' οὖν οὐ μαίνεσθαι νομιστέον αὐτὸν ἢ παντάπασιν ἄπειρον εἶναι τῶν ἔργων τῆς τέχνης; τίς γὰρ οὐκ οἶδεν, ὡς, εἰ μὲν φλέγματος ἀγωγὸν δοθείη φάρμακον τοῖς ἰκτεριῶσιν, οὐκ ἂν οὐδὲ τέτταρας κυάθους καθαρθεῖεν· οὕτω δ' οὐδ' εἰ τῶν ὑδραγωγῶν τι· χολαγωγῷ δὲ φαρμάκῳ πλεῖστον μὲν ἐκκενοῦται χολῆς, αὐτίκα δὲ καθαρὸς τοῖς οὕτω καθαρθεῖσιν ὁ χρὼς γίγνεται. πολλοὺς γοῦν ἡμεῖς μετὰ τὸ θεραπεῦσαι τὴν ἐν τῷ ἥπατι διάθεσιν ἅπαξ καθήραντες ἀπηλλάξαμεν τοῦ παθήματος. οὐ μὴν οὐδ' εἰ φλέγματος ἀγωγῷ καθαίροις φαρμάκῳ, πλέον ἄν τι διαπράξαιο.

[1] *i.e.* urine. [2] On use of κενόω *v.* p. 67, note 9.

[3] *i.e.* bile and phlegm had no existence as such before the

And what profit did he derive from these opinions from the point of view of treatment? He neither was able to cure a kidney ailment, nor jaundice, nor a disease of black bile, nor would he agree with the view held not merely by Hippocrates but by all men regarding drugs—that some of them purge away yellow bile, and others black, some again phlegm, and others the thin and watery superfluity [1]; he held that all the substances evacuated [2] were *produced by the drugs themselves,* just as yellow bile is produced by the biliary passages! It matters nothing, according to this extraordinary man, whether we give a hydragogue or a cholagogue in a case of dropsy, for these all equally purge [2] and dissolve the body, and produce a solution having such and such an appearance, which did not exist as such before! [3]

Must we not, therefore, suppose he was either mad, or entirely unacquainted with practical medicine? For who does not know that if a drug for attracting phlegm be given in a case of jaundice it will not even evacuate four *cyathi* [4] of phlegm? Similarly also if one of the hydragogues be given. A cholagogue, on the other hand, clears away a great quantity of bile, and the skin of patients so treated at once becomes clear. I myself have, in many cases, after treating the liver condition, then removed the disease by means of a single purgation; whereas, if one had employed a drug for removing phlegm one would have done no good.

drugs were given; they are the products of dissolved tissue. Asclepiades did not believe that diseases were due to a *materia peccans,* but to disturbances in the movements of the molecules (ὄγκοι) which constitute the body; thus, in opposition to the humoralists such as Galen, he had no use for drugs. *cf.* p. 49, note 5. [4] About 4 oz., or one-third of a pint.

Καὶ ταῦτ' οὐχ Ἱπποκράτης μὲν οὕτως οἶδε
γιγνόμενα, τοῖς δ' ἀπὸ τῆς ἐμπειρίας μόνης ὁρμω-
42 μένοις ἑτέρως ἔγνωσται, ἀλλὰ κἀκεί‖νοις ὡσαύτως
καὶ πᾶσιν ἰατροῖς, οἷς μέλει τῶν ἔργων τῆς τέχ-
νης, οὕτω δοκεῖ πλὴν Ἀσκληπιάδου. προδοσίαν
γὰρ εἶναι νενόμικε τῶν στοιχείων ὧν ὑπέθετο τὴν
ἀληθῆ περὶ τῶν τοιούτων ὁμολογίαν. εἰ γὰρ
ὅλως εὑρεθείη τι φάρμακον ἑλκτικὸν τοῦδέ τινος
τοῦ χυμοῦ μόνου, κίνδυνος κρατεῖν δηλαδὴ τῷ
λόγῳ τὸ ἐν ἑκάστῳ τῶν σωμάτων εἶναί τινα
δύναμιν ἐπισπαστικὴν τῆς οἰκείας ποιότητος. διὰ
τοῦτο κνῆκον μὲν καὶ κόκκον τὸν κνίδιον καὶ
ἱπποφαὲς οὐχ ἕλκειν ἐκ τοῦ σώματος ἀλλὰ ποιεῖν
τὸ φλέγμα φησίν· ἄνθος δὲ χαλκοῦ καὶ λεπίδα
καὶ αὐτὸν τὸν κεκαυμένον χαλκὸν καὶ χαμαίδρυν
καὶ χαμαιλέοντα εἰς ὕδωρ ἀναλύειν τὸ σῶμα καὶ
τοὺς ὑδερικοὺς ὑπὸ τούτων οὐ καθαιρομένους ὀνί-
νασθαι ἀλλὰ κενουμένους συναυξόντων δηλαδὴ τὸ
πάθος. εἰ γὰρ οὐ κενοῖ τὸ περιεχόμενον ἐν τοῖς
σώμασιν ὑδατῶδες ὑγρὸν ἀλλ' αὐτὸ γεννᾷ, τῷ
νοσήματι προστιμωρεῖται. καὶ μέν γε καὶ ἡ
σκαμμωνία πρὸς τῷ μὴ κενοῦν ἐκ τοῦ σώματος
τῶν ἰκτερικῶν τὴν χολὴν ἔτι καὶ τὸ χρηστὸν αἷμα
43 χολὴν ἐργαζομένη ‖ καὶ συντήκουσα τὸ σῶμα καὶ
τηλικαῦτα κακὰ δρῶσα καὶ τὸ πάθος ἐπαύξουσα
κατά γε τὸν Ἀσκληπιάδου λόγον.

Ὅμως ἐναργῶς ὁρᾶται πολλοὺς ὠφελοῦσα.
ναί, φησίν, ὀνίνανται μέν, ἀλλ' αὐτῷ μόνῳ τῷ

[1] The Empiricists. *cf.* Introduction, p. xiii.

[2] His ὄγκοι or molecules.

[3] He does not say "organized" or "living" body; inanimate things were also thought to possess "natures"; *cf.* p. 2, note 1.

Nor is Hippocrates the only one who knows this to be so, whilst those who take experience alone as their starting-point[1] know otherwise; they, as well as all physicians who are engaged in the practice of medicine, are of this opinion. Asclepiades, however, is an exception; he would hold it a betrayal of his assumed "elements"[2] to confess the truth about such matters. For if a single drug were to be discovered which attracted such and such a humour only, there would obviously be danger of the opinion gaining ground that there is in every body[3] a faculty which attracts its own particular quality. He therefore says that safflower,[4] the Cnidian berry,[5] and *Hippophaes*,[6] do not draw phlegm from the body, but actually make it. Moreover, he holds that the flower and scales of bronze, and burnt bronze itself, and germander,[7] and wild mastich[8] dissolve the body into water, and that dropsical patients derive benefit from these substances, not because they are purged by them, but because they are rid of substances which actually help to increase the disease; for, if the medicine does not evacuate[9] the dropsical fluid contained in the body, but generates it, it aggravates the condition further. Moreover, scammony, according to the Asclepiadean argument, not only fails to evacuate[9] the bile from the bodies of jaundiced subjects, but actually turns the useful blood into bile, and dissolves the body; in fact it does all manner of evil and increases the disease.

And yet this drug may be clearly seen to do good to numbers of people! "Yes," says he, "they derive

[4] Carthamus tinctorius. [5] Daphne Gnidium.
[6] Euphorbia acanthothamnos. [7] Teucrium chamaedrys.
[8] Atractylis gummifera. [9] On use of κενόω *cf.* p. 98, note 1.

λόγῳ τῆς κενώσεως. καὶ μὴν εἰ φλέγματος ἀγωγὸν αὐτοῖς δοίης φάρμακον, οὐκ ὀνήσονται. καὶ τοῦθ' οὕτως ἐναργές ἐστιν, ὥστε καὶ οἱ ἀπὸ μόνης τῆς ἐμπειρίας ὁρμώμενοι γιγνώσκουσιν αὐτό. καίτοι τούτοις γε τοῖς ἀνδράσιν αὐτὸ δὴ τοῦτ' ἔστι φιλοσόφημα, τὸ μηδενὶ λόγῳ πιστεύειν ἀλλὰ μόνοις τοῖς ἐναργῶς φαινομένοις. ἐκεῖνοι μὲν οὖν σωφρονοῦσιν· Ἀσκληπιάδης δὲ παραπαίει ταῖς αἰσθήσεσιν ἡμᾶς ἀπιστεῖν κελεύων, ἔνθα τὸ φαινόμενον ἀνατρέπει σαφῶς αὐτοῦ τὰς ὑποθέσεις. καίτοι μακρῷ γ' ἦν ἄμεινον οὐχ ὁμόσε χωρεῖν τοῖς φαινομένοις ἀλλ' ἐκείνοις ἀναθέσθαι τὸ πᾶν.

Ἆρ' οὖν ταῦτα μόνον ἐναργῶς μάχεται τοῖς Ἀσκληπιάδου δόγμασιν ἢ καὶ τὸ θέρους μὲν πλείονα κενοῦσθαι τὴν ξανθὴν χολὴν ὑπὸ τῶν αὐτῶν φαρμάκων, χειμῶνος δὲ τὸ φλέγμα, καὶ νεανίσκῳ μὲν πλείονα τὴν χολήν, πρεσβύτῃ δὲ τὸ
44 φλέγμα; φαίνεται || γὰρ ἕκαστον ἕλκειν τὴν οὖσαν, οὐκ αὐτὸ γεννᾶν τὴν οὐκ οὖσαν. εἰ γοῦν ἐθελήσαις νεανίσκῳ τινὶ τῶν ἰσχνῶν καὶ θερμῶν ὥρᾳ θέρους μήτ' ἀργῶς βεβιωκότι μήτ' ἐν πλησμονῇ φλέγματος ἀγωγὸν δοῦναι φάρμακον, ὀλίγιστον μὲν καὶ μετὰ βίας πολλῆς ἐκκενώσεις τοῦ χυμοῦ, βλάψεις δ' ἐσχάτως τὸν ἄνθρωπον· ἔμπαλιν δ' εἰ χολαγωγὸν δοίης, καὶ πάμπολυ κενώσεις καὶ βλάψεις οὐδέν.

Ἆρ' ἀπιστοῦμεν ἔτι τῷ μὴ οὐχ ἕκαστον τῶν φαρμάκων ἐπάγεσθαι τὸν οἰκεῖον ἑαυτῷ χυμόν;

---

[1] Empiricist physicians.

benefit certainly, but merely in proportion to the evacuation." . . . But if you give these cases a drug which draws off phlegm they will not be benefited. This is so obvious that even those who make experience alone their starting-point[1] are aware of it; and these people make it a cardinal point of their teaching to trust to no arguments, but only to what can be clearly seen. In this, then, they show good sense; whereas Asclepiades goes far astray in bidding us distrust our senses where obvious facts plainly overturn his hypotheses. Much better would it have been for him not to assail obvious facts, but rather to devote himself entirely to these.

Is it, then, these facts only which are plainly irreconcilable with the views of Asclepiades? Is not also the fact that in summer yellow bile is evacuated in greater quantity by the same drugs, and in winter phlegm, and that in a young man more bile is evacuated, and in an old man more phlegm? Obviously each drug attracts something which already exists, and does not generate something previously non-existent. Thus if you give in the summer season a drug which attracts phlegm to a young man of a lean and warm habit, who has lived neither idly nor too luxuriously, you will with great difficulty evacuate a very small quantity of this humour, and you will do the man the utmost harm. On the other hand, if you give him a cholagogue, you will produce an abundant evacuation and not injure him at all.

Do we still, then, disbelieve that each drug attracts *that humour which is proper to it?*[2] Possibly the

[2] Note that drugs also have "natures"; *cf.* p. 66, note 3, and pp. 83–84.

ἴσως φήσουσιν οἱ ἀπ' Ἀσκληπιάδου, μᾶλλον δ' οὐκ ἴσως, ἀλλὰ πάντως ἀπιστεῖν ἐροῦσιν, ἵνα μὴ προδῶσι τὰ φίλτατα.

## XIV

Πάλιν οὖν καὶ ἡμεῖς ἐφ' ἑτέραν μεταβῶμεν ἀδολεσχίαν· οὐ γὰρ ἐπιτρέπουσιν οἱ σοφισταὶ τῶν ἀξίων τι ζητημάτων προχειρίζεσθαι καίτοι παμπόλλων ὑπαρχόντων, ἀλλὰ κατατρίβειν ἀναγκάζουσι τὸν χρόνον εἰς τὴν τῶν σοφισμάτων, ὧν προβάλλουσι, λύσιν.

Τίς οὖν ἡ ἀδολεσχία; ἡ ἔνδοξος αὕτη καὶ
45 πολυθρύλητος λίθος ἡ τὸν σίδηρον || ἐπισπωμένη. τάχα γὰρ ἂν αὕτη ποτὲ τὴν ψυχὴν αὐτῶν ἐπισπάσαιτο πιστεύειν εἶναί τινας ἐν ἑκάστῳ τῶν σωμάτων ἑλκτικὰς τῶν οἰκείων ποιοτήτων δυνάμεις.

Ἐπίκουρος μὲν οὖν καίτοι παραπλησίοις Ἀσκληπιάδῃ στοιχείοις πρὸς τὴν φυσιολογίαν χρώμενος ὅμως ὁμολογεῖ, πρὸς μὲν τῆς ἡρακλείας λίθου τὸν σίδηρον ἕλκεσθαι, πρὸς δὲ τῶν ἠλέκτρων τὰ κυρήβια καὶ πειρᾶταί γε καὶ τὴν αἰτίαν ἀποδιδόναι τοῦ φαινομένου. τὰς γὰρ ἀπορρεούσας ἀτόμους ἀπὸ τῆς λίθου ταῖς ἀπορρεούσαις ἀπὸ τοῦ σιδήρου τοῖς σχήμασιν οἰκείας εἶναί φησιν, ὥστε περιπλέκεσθαι ῥᾳδίως. προσκρουούσας οὖν αὐτὰς τοῖς συγκρίμασιν ἑκατέροις τῆς τε λίθου καὶ τοῦ σιδήρου κἄπειτ' εἰς τὸ μέσον ἀποπαλλομένας οὕτως ἀλλήλαις τε περιπλέκεσθαι καὶ

[1] Pun here. [2] Lit. *physiology*, *i.e.* *nature-lore*, almost our "Natural Philosophy"; *cf.* Introduction, p. xxvi.

adherents of Asclepiades will assent to this—or rather, they will—not possibly, but certainly—declare that they disbelieve it, lest they should betray their darling prejudices.

## XIV

Let us pass on, then, again to another piece of nonsense; for the sophists do not allow one to engage in enquiries that are of any worth, albeit there are many such; they compel one to spend one's time in dissipating the fallacious arguments which they bring forward.

What, then, is this piece of nonsense? It has to do with the famous and far-renowned stone which draws iron [the lodestone]. It might be thought that this would draw [1] their minds to a belief that there are in all bodies certain *faculties* by which they attract their own proper qualities.

Now Epicurus, despite the fact that he employs in his *Physics* [2] elements similar to those of Asclepiades,[3] yet allows that iron is attracted by the lodestone,[4] and chaff by amber. He even tries to give the cause of the phenomenon. His view is that the atoms which flow from the stone are related in shape to those flowing from the iron, and so they become easily interlocked with one another; thus it is that, after colliding with each of the two compact masses (the stone and the iron) they then rebound into the middle and so become entangled with each other,

[3] The ultimate particle of Epicurus was the ἄτομος or atom (lit. "non-divisible"), of Asclepiades, the ὄγκος or molecule. Asclepiades took his atomic theory from Epicurus, and he again from Democritus; *cf.* p. 49, note 5.

[4] Lit. *Herculean stone.*

συνεπισπᾶσθαι τὸν σίδηρον. τὸ μὲν οὖν τῶν ὑποθέσεων εἰς τὴν αἰτιολογίαν ἀπίθανον ἄντικρυς δῆλον, ὅμως δ' οὖν ὁμολογεῖ τὴν ὁλκήν. καὶ οὕτω γε καὶ κατὰ τὰ σώματα τῶν ζῴων φησὶ γίγνεσθαι τάς τ' ἀναδόσεις καὶ τὰς διακρίσεις τῶν περιττωμάτων καὶ τὰς τῶν καθαιρόντων φαρμάκων ἐνεργείας.

Ἀσκληπιάδης δὴ τό τε τῆς εἰρημένης αἰτίας
46 ἀπίθανον || ὑπιδόμενος καὶ μηδεμίαν ἄλλην ἐφ' οἷς ὑπέθετο στοιχείοις ἐξευρίσκων πιθανὴν ἐπὶ τὸ μηδ' ὅλως ἕλκεσθαι λέγειν ὑπὸ μηδενὸς μηδὲν ἀναισχυντήσας ἐτράπετο, δέον, εἰ μήθ' οἷς Ἐπίκουρος εἶπεν ἠρέσκετο μήτ' ἄλλα βελτίω λέγειν εἶχεν, ἀποστῆναι τῶν ὑποθέσεων καὶ τήν τε φύσιν εἰπεῖν τεχνικὴν καὶ τὴν οὐσίαν τῶν ὄντων ἑνουμένην τε πρὸς ἑαυτὴν ἀεὶ καὶ ἀλλοιουμένην ὑπὸ τῶν ἑαυτῆς μορίων εἰς ἄλληλα δρώντων τε καὶ πασχόντων. εἰ γὰρ ταῦθ' ὑπέθετο, χαλεπὸν οὐδὲν ἦν τὴν τεχνικὴν ἐκείνην φύσιν ὁμολογῆσαι δυνάμεις ἔχειν ἐπισπαστικὴν μὲν τῶν οἰκείων, ἀποκριτικὴν δὲ τῶν ἀλλοτρίων. οὐ γὰρ δι' ἄλλο τί γ' ἦν αὐτῇ τὸ τεχνικῇ τ' εἶναι καὶ τοῦ ζῴου διασωστικῇ καὶ τῶν νοσημάτων κριτικῇ παρὰ τὸ προσίεσθαι μὲν καὶ φυλάττειν τὸ οἰκεῖον, ἀποκρίνειν δὲ τὸ ἀλλότριον.

Ἀλλ' Ἀσκληπιάδης κἀνταῦθα τὸ μὲν ἀκόλουθον ταῖς ἀρχαῖς αἷς ὑπέθετο συνεῖδεν, οὐ μὴν τήν γε πρὸς τὸ φαινόμενον ἐναργῶς ᾐδέσθη μάχην,
47 ἀλλ' ὁμόσε || χωρεῖ καὶ περὶ τούτου πᾶσιν οὐκ ἰατροῖς μόνον ἀλλ' ἤδη καὶ τοῖς ἄλλοις ἀνθρώποις

---

[1] Lit. *aetiology*. [2] *Anadosis*; *cf.* p. 62, note 1.

and draw the iron after them. So far, then, as his hypotheses regarding causation[1] go, he is perfectly unconvincing; nevertheless, he does grant that there is an attraction. Further, he says that it is on similar principles that there occur in the bodies of animals the dispersal of nutriment[2] and the discharge of waste matters, as also the actions of cathartic drugs.

Asclepiades, however, who viewed with suspicion the incredible character of the cause mentioned, and who saw no other credible cause on the basis of his supposed elements, shamelessly had recourse to the statement that nothing is in any way attracted by anything else. Now, if he was dissatisfied with what Epicurus said, and had nothing better to say himself, he ought to have refrained from making hypotheses, and should have said that Nature is a constructive artist and that the substance of things is always tending towards unity and also towards alteration because its own parts act upon and are acted upon by one another.[3] For, if he had assumed this, it would not have been difficult to allow that this constructive nature has powers which attract appropriate and expel alien matter. For in no other way could she be constructive, preservative of the animal, and eliminative of its diseases,[4] unless it be allowed that she conserves what is appropriate and discharges what is foreign.

But in this matter, too, Asclepiades realized the logical sequence of the principles he had assumed; he showed no scruples, however, in opposing plain fact; he joins issue in this matter also, not merely with all physicians, but with everyone else, and

[3] *cf.* p. 45. [4] The *vis conservatrix et medicatrix Naturae.*

*οὔτε κρίσιν εἶναί τινα λέγων οὔθ' ἡμέραν κρίσιμον οὔθ' ὅλως οὐδὲν ἐπὶ σωτηρίᾳ τοῦ ζῴου πραγματεύσασθαι τὴν φύσιν. ἀεὶ γὰρ τὸ μὲν ἀκόλουθον φυλάττειν βούλεται, τὸ δ' ἐναργῶς φαινόμενον ἀνατρέπειν ἔμπαλιν Ἐπικούρῳ. τιθεὶς γὰρ ἐκεῖνος ἀεὶ τὸ φαινόμενον αἰτίαν αὐτοῦ ψυχρὰν ἀποδίδωσι. τὰ γὰρ ἀποπαλλόμενα σμικρὰ σώματα τῆς ἡρακλείας λίθου τοιούτοις ἑτέροις περιπλέκεσθαι μορίοις τοῦ σιδήρου κἄπειτα διὰ τῆς περιπλοκῆς ταύτης μηδαμοῦ φαινομένης ἐπισπᾶσθαι βαρεῖαν οὕτως οὐσίαν οὐκ οἶδ' ὅπως ἄν τις πεισθείη. καὶ γὰρ εἰ τοῦτο συγχωρήσομεν, τό γε τῷ σιδήρῳ πάλιν ἕτερον προστεθέν τι συνάπτεσθαι τὴν αὐτὴν αἰτίαν οὐκέτι προσίεται.*

*Τί γὰρ ἐροῦμεν; ἢ δηλαδὴ τῶν ἀπορρεόντων τῆς λίθου μορίων ἔνια μὲν προσκρούσαντα τῷ σιδήρῳ πάλιν ἀποπάλλεσθαι καὶ ταῦτα μὲν εἶναι, δι' ὧν κρεμάννυσθαι συμβαίνει τὸν σίδηρον, τὰ δ'*
48 *εἰς αὐτὸν εἰσδυόμενα διὰ τῶν* || *κενῶν πόρων διεξέρχεσθαι τάχιστα κἄπειτα τῷ παρακειμένῳ σιδήρῳ προσκρούοντα μήτ' ἐκεῖνον διαδῦναι δύνασθαι, καίτοι τόν γε πρῶτον διαδύντα, παλινδρομοῦντα δ' αὖθις ἐπὶ τὸν πρότερον ἑτέρας αὖθις ἐργάζεσθαι ταῖς προτέραις ὁμοίας περιπλοκάς;*

*Ἐναργῶς γὰρ ἐνταῦθα τὸ ληρῶδες τῆς αἰτίας ἐλέγχεται. γραφεῖα γοῦν οἶδά ποτε σιδηρᾶ πέντε κατὰ τὸ συνεχὲς ἀλλήλοις συναφθέντα, τοῦ πρώτου μὲν μόνου τῆς λίθου ψαύσαντος, ἐξ ἐκείνου*

---

[1] *cf.* p. 61, note 3. The *crisis* or resolution in fevers was observed to take place with a certain regularity; hence arose the doctrine of "critical days."

maintains that there is no such thing as a crisis, or critical day,[1] and that Nature does absolutely nothing for the preservation of the animal. For his constant aim is to follow out logical consequences and to upset obvious fact, in this respect being opposed to Epicurus; for the latter always stated the observed fact, although he gives an ineffective explanation of it. For, that these small corpuscles belonging to the lodestone rebound, and become entangled with other similar particles of the iron, and that then, by means of this entanglement (which cannot be seen anywhere) such a heavy substance as iron is attracted—I fail to understand how anybody could believe this. Even if we admit this, the same principle will not explain the fact that, when the iron has another piece brought in contact with it, this becomes attached to it.

For what are we to say? That, forsooth, some of the particles that flow from the lodestone collide with the iron and then rebound back, and that it is by these that the iron becomes suspended? that others penetrate into it, and rapidly pass through it by way of its empty channels?[2] that these then collide with the second piece of iron and are not able to penetrate it although they penetrated the first piece? and that they then course back to the first piece, and produce entanglements like the former ones?

The hypothesis here becomes clearly refuted by its absurdity. As a matter of fact, I have seen five writing-stylets of iron attached to one another in a line, only the first one being in contact with the

[2] These were hypothetical spaces or channels between the atoms; *cf.* Introduction, p. xiv.

δ' εἰς τἆλλα τῆς δυνάμεως διαδοθείσης· καὶ οὐκ
ἔστιν εἰπεῖν, ὡς, εἰ μὲν τῷ κάτω τοῦ γραφείου
πέρατι προσάγοις ἕτερον, ἔχεταί τε καὶ συνάπτε-
ται καὶ κρέμαται τὸ προσενεχθέν· εἰ δ' ἄλλῳ τινὶ
μέρει τῶν πλαγίων προσθείης, οὐ συνάπτεται.
πάντη γὰρ ὁμοίως ἡ τῆς λίθου διαδίδοται δύναμις,
εἰ μόνον ἅψαιτο κατά τι τοῦ πρώτου γραφείου.
καὶ μέντοι κἀκ τούτου πάλιν εἰς τὸ δεύτερον ὅλον
ἡ δύναμις ἅμα νοήματι διαρρεῖ κἀξ ἐκείνου πάλιν
εἰς τὸ τρίτον ὅλον. εἰ δὴ νοήσαις σμικράν τινα
λίθον ἡρακλείαν ἐν οἴκῳ τινὶ κρεμαμένην, εἶτ' ἐν
κύκλῳ ψαύοντα πάμπολλα σιδήρια κἀκείνων
πάλιν ἕτερα κἀκείνων ἄλλα καὶ τοῦτ' ἄχρι πλεί-
49 ονος, ἅπαντα || δήπου πίμπλασθαι δεῖ τὰ σιδήρια
τῶν ἀπορρεόντων τῆς λίθου σωμάτων. καὶ κινδυ-
νεύει διαφορηθῆναι τὸ σμικρὸν ἐκεῖνο λιθίδιον εἰς
τὰς ἀπορροὰς διαλυθέν. καίτοι, κἂν εἰ μηδὲν
παρακέοιτ' αὐτῷ σιδήριον, εἰς τὸν ἀέρα σκεδάννυ-
ται, μάλιστ' εἰ καὶ θερμὸς ὑπάρχοι.

Ναί, φησί, σμικρὰ γὰρ αὐτὰ χρὴ πάνυ νοεῖν, ὥστε τῶν ἐμφερομένων τῷ ἀέρι ψηγμάτων τούτων δὴ τῶν σμικροτάτων ἐκείνων ἔνια μυριοστὸν εἶναι μέρος. εἶτ' ἐξ οὕτω σμικρῶν τολμᾶτε λέγειν κρεμάννυσθαι βάρη τηλικαῦτα σιδήρου; εἰ γὰρ ἕκαστον αὐτῶν μυριοστόν ἐστι μέρος τῶν ἐν τῷ ἀέρι φερομένων ψηγμάτων, πηλίκον χρὴ νοῆσαι τὸ πέρας αὐτῶν τὸ ἀγκιστροειδές, ᾧ περιπλέκεται πρὸς ἄλληλα; πάντως γὰρ δήπου τοῦτο σμικρότατόν ἐστιν ὅλου τοῦ ψήγματος.

---

[1] He means the specific drawing power or faculty of the lodestone. [2] *cf.* our modern "radium-emanations."

lodestone, and the power[1] being transmitted through it to the others. Moreover, it cannot be said that if you bring a second stylet into contact with the lower end of the first, it becomes held, attached, and suspended, whereas, if you apply it to any other part of the side it does not become attached. For the power of the lodestone is distributed in all directions; it merely needs to be in contact with the first stylet at any point; from this stylet again the power flows, as quick as a thought, all through the second, and from that again to the third. Now, if you imagine a small lodestone hanging in a house, and in contact with it all round a large number of pieces of iron, from them again others, from these others, and so on,—all these pieces of iron must surely become filled with the corpuscles which emanate from the stone; therefore, this first little stone is likely to become dissipated by disintegrating into these emanations.[2] Further, even if there be no iron in contact with it, it still disperses into the air, particularly if this be also warm.

"Yes," says Epicurus, "but these corpuscles must be looked on as exceedingly small, so that some of them are a ten-thousandth part of the size of the very smallest particles carried in the air." Then do you venture to say that so great a weight of iron can be suspended by such small bodies? If each of them is a ten-thousandth part as large as the dust particles which are borne in the atmosphere, how big must we suppose the hook-like extremities by which they interlock with each other[3] to be? For of course this is quite the smallest portion of the whole particle.

[3] *cf.* Ehrlich's hypothesis of "receptors" in explanation of the "affinities" of animal cells.

Εἶτα μικρὸν μικρῷ, κινούμενον κινουμένῳ περιπλακὲν οὐκ εὐθὺς ἀποπάλλεται. καὶ γὰρ δὴ καὶ ἄλλ' ἄττα πάντως αὐτοῖς, τὰ μὲν ἄνωθεν, τὰ δὲ κάτωθεν, καὶ τὰ μὲν ἔμπροσθεν, τὰ δ' ὄπισθεν, τὰ δ' ἐκ τῶν δεξιῶν, τὰ δ' ἐκ τῶν ἀριστερῶν ||
50 ἐκρηγνύμενα σείει τε καὶ βράττει καὶ μένειν οὐκ ἐᾷ. καὶ μέντοι καὶ πολλὰ χρὴ νοεῖν ἐξ ἀνάγκης ἕκαστον ἐκείνων τῶν σμικρῶν σωμάτων ἔχειν ἀγκιστρώδη πέρατα. δι' ἑνὸς μὲν γὰρ ἀλλήλοις συνάπτεται, δι' ἑτέρου δ' ἑνὸς τοῦ μὲν ὑπερκειμένου τῇ λίθῳ, τοῦ δ' ὑποκειμένου τῷ σιδήρῳ. εἰ γὰρ ἄνω μὲν ἐξαφθείη τῆς λίθου, κάτω δὲ τῷ σιδήρῳ μὴ συμπλακείη, πλέον οὐδέν. ὥστε τοῦ μὲν ὑπερκειμένου τὸ ἄνω μέρος ἐκκρέμασθαι χρὴ τῆς λίθου, τοῦ δ' ὑποκειμένου τῷ κάτω πέρατι συνῆφθαι τὸν σίδηρον. ἐπεὶ δὲ κἀκ τῶν πλαγίων ἀλλήλοις περιπλέκεται, πάντως που κἀνταῦθα ἔχει τὰ ἄγκιστρα. καὶ μέμνησό μοι πρὸ πάντων, ὅπως ὄντα σμικρὰ τὰς τοιαύτας καὶ τοσαύτας ἀποφύσεις ἔχει. καὶ τούτου μᾶλλον ἔτι, πῶς, ἵνα τὸ δεύτερον σιδήριον συναφθῇ τῷ πρώτῳ καὶ τῷ δευτέρῳ τὸ τρίτον κἀκείνῳ τὸ τέταρτον, ἅμα μὲν διεξέρχεσθαι χρὴ τοὺς πόρους ταυτὶ τὰ σμικρὰ καὶ ληρώδη ψήγματα, ἅμα δ' ἀποπάλλεσθαι τοῦ
51 μετ' αὐτὸ || τεταγμένου, καίτοι κατὰ πᾶν ὁμοίου τὴν φύσιν ὑπάρχοντος.

Οὐδὲ γὰρ ἡ τοιαύτη πάλιν ὑπόθεσις ἄτολμος, ἀλλ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, μακρῷ τῶν ἔμπροσθεν ἀναισχυντοτέρα, πέντε σιδηρίων ὁμοίων ἀλλή-

Then, again, when a small body becomes entangled with another small body, or when a body in motion becomes entangled with another also in motion, they do not rebound at once. For, further, there will of course be others which break in upon them from above, from below, from front and rear, from right and left, and which shake and agitate them and never let them rest. Moreover, we must perforce suppose that each of these small bodies has a large number of these hook-like extremities. For by one it attaches itself to its neighbours, by another —the topmost one—to the lodestone, and by the bottom one to the iron. For if it were attached to the stone above and not interlocked with the iron below, this would be of no use.[1] Thus, the upper part of the superior extremity must hang from the lodestone, and the iron must be attached to the lower end of the inferior extremity; and, since they interlock with each other by their sides as well, they must, of course, have hooks there too. Keep in mind also, above everything, what small bodies these are which possess all these different kinds of outgrowths. Still more, remember how, in order that the second piece of iron may become attached to the first, the third to the second, and to that the fourth, these absurd little particles must both penetrate the passages in the first piece of iron and at the same time rebound from the piece coming next in the series, although this second piece is naturally in every way similar to the first.

Such an hypothesis, once again, is certainly not lacking in audacity; in fact, to tell the truth, it is far more shameless than the previous ones; according

[1] *i.e.* from the point of view of the theory.

λοις ἐφεξῆς τεταγμένων διὰ τοῦ πρώτου διαδυό-
μενα ῥαδίως τῆς λίθου τὰ μόρια κατὰ τὸ δεύτερον
ἀποπάλλεσθαι καὶ μὴ διὰ τούτου κατὰ τὸν αὐτὸν
τρόπον ἑτοίμως διεξέρχεσθαι. καὶ μὴν ἑκατέρως
ἄτοπον. εἰ μὲν γὰρ ἀποπάλλεται, πῶς εἰς τὸ
τρίτον ὠκέως διεξέρχεται; εἰ δ' οὐκ ἀποπάλλεται,
πῶς κρεμάννυται τὸ δεύτερον ἐκ τοῦ πρώτου; τὴν
γὰρ ἀπόπαλσιν αὐτὸς ὑπέθετο δημιουργὸν τῆς
ὁλκῆς.

'Αλλ', ὅπερ ἔφην, εἰς ἀδολεσχίαν ἀναγκαῖον
ἐμπίπτειν, ἐπειδάν τις τοιούτοις ἀνδράσι διαλέγη-
ται. σύντομον οὖν τινα καὶ κεφαλαιώδη λόγον
εἰπὼν ἀπαλλάττεσθαι βούλομαι. τοῖς 'Ασκλη-
πιάδου γράμμασιν εἴ τις ἐπιμελῶς ὁμιλήσειε, τήν
τε πρὸς τὰς ἀρχὰς ἀκολουθίαν τῶν τοιούτων
δογμάτων ἀκριβῶς ἂν ἐκμάθοι καὶ τὴν πρὸς τὰ
φαινόμενα μάχην. ὁ μὲν οὖν 'Επίκουρος τὰ
52 φαινόμενα φυλάττειν βουλόμενος ἀσχημονεῖ || φι-
λοτιμούμενος ἐπιδεικνύειν αὐτὰ ταῖς ἀρχαῖς ὁμο-
λογοῦντα· ὁ δ' 'Ασκληπιάδης τὸ μὲν ἀκόλουθον
ταῖς ἀρχαῖς φυλάττει, τοῦ φαινομένου δ' οὐδὲν
αὐτῷ μέλει. ὅστις οὖν βούλεται τὴν ἀτοπίαν
ἐξελέγχειν τῶν ὑποθέσεων, εἰ μὲν πρὸς 'Ασκλη-
πιάδην ὁ λόγος αὐτῷ γίγνοιτο, τῆς πρὸς τὸ
φαινόμενον ὑπομιμνησκέτω μάχης· εἰ δὲ πρὸς
'Επίκουρον, τῆς πρὸς τὰς ἀρχὰς διαφωνίας. αἱ
δ' ἄλλαι σχεδὸν αἱρέσεις αἱ τῶν ὁμοίων ἀρχῶν
ἐχόμεναι τελέως ἀπέσβησαν, αὗται δ' ἔτι μόναι
διαρκοῦσιν οὐκ ἀγεννῶς. καίτοι τὰ μὲν 'Ασ-
κληπιάδου Μηνόδοτος ὁ ἐμπειρικὸς ἀφύκτως
ἐξελέγχει, τήν τε πρὸς τὰ φαινόμενα μάχην ὑπο-
μιμνήσκων αὐτὸν καὶ τὴν πρὸς ἄλληλα· τὰ δ'

to it, when five similar pieces of iron are arranged in a line, the particles of the lodestone which easily traverse the first piece of iron rebound from the second, and do not pass readily through it in the same way. Indeed, it is nonsense, whichever alternative is adopted. For, if they do rebound, how then do they pass through into the third piece? And if they do not rebound, how does the second piece become suspended to the first? For Epicurus himself looked on the rebound as the active agent in attraction.

But, as I have said, one is driven to talk nonsense whenever one gets into discussion with such men. Having, therefore, given a concise and summary statement of the matter, I wish to be done with it. For if one diligently familiarizes oneself with the writings of Asclepiades, one will see clearly their logical dependence on his first principles, but also their disagreement with observed facts. Thus, Epicurus, in his desire to adhere to the facts, cuts an awkward figure by aspiring to show that these agree with his principles, whereas Asclepiades safeguards the sequence of principles, but pays no attention to the obvious fact. Whoever, therefore, wishes to expose the absurdity of their hypotheses, must, if the argument be in answer to Asclepiades, keep in mind his disagreement with observed fact; or if in answer to Epicurus, his discordance with his principles. Almost all the other sects depending on similar principles are now entirely extinct, while these alone maintain a respectable existence still. Yet the tenets of Asclepiades have been unanswerably confuted by Menodotus the Empiricist, who draws his attention to their opposition to phenomena and to each other;

Ἐπικούρου πάλιν ὁ Ἀσκληπιάδης ἐχόμενος ἀεὶ
τῆς ἀκολουθίας, ἧς ἐκεῖνος οὐ πάνυ τι φαίνεται
φροντίζων.

Ἀλλ' οἱ νῦν ἄνθρωποι, πρὶν καὶ ταύτας
ἐκμαθεῖν τὰς αἱρέσεις καὶ τὰς ἄλλας τὰς
βελτίους κἄπειτα χρόνῳ πολλῷ κρῖναί τε καὶ
βασανίσαι τὸ καθ' ἑκάστην αὐτῶν ἀληθές τε καὶ
ψεῦδος, οἱ μὲν ἰατροὺς ἑαυτούς, οἱ δὲ φιλοσόφους
53 ὀνομάζουσι μηδὲν εἰδότες. || οὐδὲν οὖν θαυμαστὸν
ἐπίσης τοῖς ἀληθέσι τὰ ψευδῆ τετιμῆσθαι. ὅτῳ
γὰρ ἂν ἕκαστος πρώτῳ περιτύχῃ διδασκάλῳ,
τοιοῦτος ἐγένετο, μὴ περιμείνας μηδὲν ἔτι παρ'
ἄλλου μαθεῖν. ἔνιοι δ' αὐτῶν, εἰ καὶ πλείοσιν
ἐντύχοιεν, ἀλλ' οὕτω γ' εἰσὶν ἀσύνετοί τε καὶ
βραδεῖς τὴν διάνοιαν, ὥστε καὶ γεγηρακότες οὔπω
συνιᾶσιν ἀκολουθίαν λόγου. πάλαι δὲ τοὺς τοιού-
τους ἐπὶ τὰς βαναύσους ἀπέλυον τέχνας. ἀλλὰ
ταῦτα μὲν ἐς ὅ τι τελευτήσει θεὸς οἶδεν.

Ἡμεῖς δ' ἐπειδή, καίτοι φεύγοντες ἀντιλέγειν
τοῖς ἐν αὐταῖς ταῖς ἀρχαῖς εὐθὺς ἐσφαλμένοις,
ὅμως ἠναγκάσθημεν ὑπ' αὐτῆς τῶν πραγμάτων
τῆς ἀκολουθίας εἰπεῖν τινα καὶ διαλεχθῆναι πρὸς
αὐτούς, ἔτι καὶ τοῦτο προσθήσομεν τοῖς εἰρη-
μένοις, ὡς οὐ μόνον τὰ καθαίροντα φάρμακα
πέφυκεν ἐπισπᾶσθαι τὰς οἰκείας ποιότητας ἀλλὰ
καὶ τὰ τοὺς σκόλοπας ἀνάγοντα καὶ τὰς τῶν
βελῶν ἀκίδας εἰς πολὺ βάθος σαρκὸς ἐμπεπαρ-
μένας ἐνίοτε. καὶ μέντοι καὶ ὅσα τοὺς ἰοὺς τῶν
θηρίων ἢ τοὺς ἐμπεφαρμαγμένους τοῖς βέλεσιν
ἀνέλκει, καὶ ταῦτα τὴν αὐτὴν ταῖς ἡρακλείαις
54 λίθοις ἐπι||δείκνυται δύναμιν. ἔγωγ' οὖν οἶδά ποτε
καταπεπαρμένον ἐν ποδὶ νεανίσκου σκόλοπα τοῖς

and, again, those of Epicurus have been confuted by Asclepiades, who adhered always to logical sequence, about which Epicurus evidently cares little.

Now people of the present day do not begin by getting a clear comprehension of these sects, as well as of the better ones, thereafter devoting a long time to judging and testing the true and false in each of them; despite their ignorance, they style themselves, some "physicians" and others "philosophers." No wonder, then, that they honour the false equally with the true. For everyone becomes like the first teacher that he comes across, without waiting to learn anything from anybody else. And there are some of them, who, even if they meet with more than one teacher, are yet so unintelligent and slow-witted that even by the time they have reached old age they are still incapable of understanding the steps of an argument. . . . In the old days such people used to be set to menial tasks. . . . What will be the end of it God knows!

Now, we usually refrain from arguing with people whose principles are wrong from the outset. Still, having been compelled by the natural course of events to enter into some kind of a discussion with them, we must add this further to what was said—that it is not only cathartic drugs which naturally attract their special qualities,[1] but also those which remove thorns and the points of arrows such as sometimes become deeply embedded in the flesh. Those drugs also which draw out animal poisons or poisons applied to arrows all show the same faculty as does the lodestone. Thus, I myself have seen a thorn which was embedded in a young man's foot fail to

[1] *cf.* p. 69, note 2.

*μὲν δακτύλοις ἕλκουσιν ἡμῖν βιαίως οὐκ ἀκολουθήσαντα, φαρμάκου δ' ἐπιτεθέντος ἀλύπως τε καὶ διὰ ταχέων ἀνελθόντα. καίτοι καὶ πρὸς τοῦτό τινες ἀντιλέγουσι φάσκοντες, ὅταν ἡ φλεγμονὴ λυθῇ τοῦ μέρους, αὐτόματον ἐξιέναι τὸν σκόλοπα πρὸς οὐδενὸς ἀνελκόμενον. ἀλλ' οὗτοί γε πρῶτον μὲν ἀγνοεῖν ἐοίκασιν, ὡς ἄλλα μέν ἐστι φλεγμονῆς, ἄλλα δὲ τῶν οὕτω καταπεπαρμένων ἑλκτικὰ φάρμακα· καίτοι γ' εἴπερ ἀφλεγμάντων γενομένων ἐξεκρίνετο τὰ παρὰ φύσιν, ὅσα φλεγμονῆς ἐστι λυτικά, ταῦτ' εὐθὺς ἂν ἦν κἀκείνων ἑλκτικά.*

*Δεύτερον δ', ὃ καὶ μᾶλλον ἄν τις θαυμάσειεν, ὡς οὐ μόνον ἄλλα μὲν τοὺς σκόλοπας, ἄλλα δὲ τοὺς ἰοὺς ἐξάγει φάρμακα, ἀλλὰ καὶ αὐτῶν τῶν τοὺς ἰοὺς ἑλκόντων τὰ μὲν τὸν τῆς ἐχίδνης, τὰ δὲ τὸν τῆς τρυγόνος, τὰ δ' ἄλλου τινὸς ἐπισπᾶται καὶ σαφῶς ἔστιν ἰδεῖν τοῖς φαρμάκοις ἐπικειμένους αὐτούς. ἐνταῦθ' οὖν Ἐπίκουρον μὲν*
55 *ἐπαινεῖν χρὴ τῆς πρὸς || τὸ φαινόμενον αἰδοῦς, μέμφεσθαι δὲ τὸν λόγον τῆς αἰτίας. ὃν γὰρ ἡμεῖς ἕλκοντες τοῖς δακτύλοις οὐκ ἀνηγάγομεν σκόλοπα, τοῦτον ὑπὸ τῶν σμικρῶν ἐκείνων ἀνέλκεσθαι ψηγμάτων, πῶς οὐ παντάπασιν ἄτοπον εἶναι χρὴ νομίζειν;*

*Ἆρ' οὖν ἤδη πεπείσμεθα τῶν ὄντων ἑκάστῳ δύναμίν τιν' ὑπάρχειν, ᾗ τὴν οἰκείαν ἕλκει ποιότητα, τὸ μὲν μᾶλλον, τὸ δ' ἧττον;*

*Ἢ καὶ τὸ τῶν πυρῶν ἔτι παράδειγμα προ-*

---

[1] That is to say, the two properties should go together in all cases—which they do not. [2] *Trygon pastinaca.*

come out when we exerted forcible traction with our fingers, and yet come away painlessly and rapidly on the application of a medicament. Yet even to this some people will object, asserting that when the inflammation is dispersed from the part the thorn comes away of itself, without being pulled out by anything. But these people seem, in the first place, to be unaware that there are certain drugs for drawing out inflammation and different ones for drawing out embedded substances; and surely if it was on the cessation of an inflammation that the abnormal matters were expelled, then all drugs which disperse inflammations ought, *ipso facto*, to possess the power of extracting these substances as well.[1]

And secondly, these people seem to be unaware of a still more surprising fact, namely, that not merely do certain medicaments draw out thorns and others poisons, but that of the latter there are some which attract the poison of the viper, others that of the sting-ray,[2] and others that of some other animal; we can, in fact, plainly observe these poisons deposited on the medicaments. Here, then, we must praise Epicurus for the respect he shows towards obvious facts, but find fault with his views as to causation. For how can it be otherwise than extremely foolish to suppose that a thorn which we failed to remove by digital traction could be drawn out by these minute particles?

Have we now, therefore, convinced ourselves that everything which exists[3] possesses a faculty by which it attracts its proper quality, and that some things do this more, and some less?

Or shall we also furnish our argument with the

[3] *cf.* p. 66, note 3.

χειρισόμεθα τῷ λόγῳ; φανήσονται γὰρ οἶμαι καὶ τῶν γεωργῶν αὐτῶν ἀμαθέστεροι περὶ τὴν φύσιν οἱ μηδὲν ὅλως ὑπὸ μηδενὸς ἕλκεσθαι συγχωροῦντες· ὡς ἔγωγε πρῶτον μὲν ἀκούσας τὸ γιγνόμενον ἐθαύμασα καὶ αὐτὸς ἠβουλήθην αὐτόπτης αὐτοῦ καταστῆναι. μετὰ ταῦτα δέ, ὡς καὶ τὰ τῆς πείρας ὡμολόγει, τὴν αἰτίαν σκοπούμενος ἐν παμπόλλῳ χρόνῳ κατὰ πάσας τὰς αἱρέσεις οὐδεμίαν ἄλλην εὑρεῖν οἷός τ' ἦν οὐδ' ἄχρι τοῦ πιθανοῦ προϊοῦσαν ἀλλὰ καταγελάστους τε καὶ σαφῶς ἐξελεγχομένας τὰς ἄλλας ἁπάσας πλὴν τῆς τὴν ὁλκὴν πρεσβευούσης.

Ἔστι δὲ τὸ γιγνόμενον τοιόνδε. κατακομί-
56 ζοντες οἱ παρ' ἡμῖν γεωργοὶ τοὺς || ἐκ τῶν ἀγρῶν πυροὺς εἰς τὴν πόλιν ἐν ἁμάξαις τισίν, ὅταν ὑφελέσθαι βουληθῶσιν, ὥστε μὴ φωραθῆναι, κεράμι' ἄττα πληρώσαντες ὕδατος μέσοις αὐτοῖς ἐνιστᾶσιν. ἕλκοντες οὖν ἐκεῖνοι διὰ τοῦ κεραμίου τὸ ὑγρὸν εἰς αὐτοὺς ὄγκον μὲν καὶ βάρος προσκτῶνται, κατάδηλοι δ' οὐ πάνυ γίγνονται τοῖς ὁρῶσιν, εἰ μή τις προπεπυσμένος ἤδη περιεργότερον ἐπισκοποῖτο. καίτοι γ' εἰ βουληθείης ἐν ἡλίῳ καταθεῖναι πάνυ θερμῷ ταὐτὸν ἀγγεῖον, ἐλάχιστον παντελῶς εὑρήσεις τὸ δαπανώμενον ἐφ' ἑκάστης ἡμέρας. οὕτως ἄρα καὶ τῆς ἡλιακῆς θερμασίας τῆς σφοδρᾶς ἰσχυροτέραν οἱ πυροὶ δύναμιν ἔχουσιν ἕλκειν εἰς ἑαυτοὺς τὴν πλησιάζουσαν ὑγρότητα. λῆρος οὖν ἐνταῦθα μακρὸς ἡ πρὸς τὸ λεπτομερὲς φορὰ τοῦ περιέχοντος ἡμᾶς ἀέρος καὶ μάλισθ' ὅταν ἱκανῶς ᾖ θερμός,

---

[1] The way that corn can attract moisture.

illustration afforded by *corn*?[1] For those who refuse to admit that anything is attracted by anything else, will, I imagine, be here proved more ignorant regarding Nature than the very peasants. When, for my own part, I first learned of what happens, I was surprised, and felt anxious to see it with my own eyes. Afterwards, when experience also had confirmed its truth, I sought long among the various sects for an explanation, and, with the exception of that which gave the first place to *attraction*, I could find none which even approached plausibility, all the others being ridiculous and obviously quite untenable.

What happens, then, is the following. When our peasants are bringing corn from the country into the city in wagons, and wish to filch some away without being detected, they fill earthen jars with water and stand them among the corn; the corn then draws the moisture into itself through the jar and acquires additional bulk and weight, but the fact is never detected by the onlookers unless someone who knew about the trick before makes a more careful inspection. Yet, if you care to set down the same vessel in the very hot sun, you will find the daily loss to be very little indeed. Thus corn has a greater power than extreme solar heat of drawing to itself the moisture in its neighbourhood.[2] Thus the theory that the water is carried towards the rarefied part of the air surrounding us[3] (particularly when that is distinctly warm) is utter nonsense; for although it is

[2] Specific attraction of the "proper" quality; *cf.* p. 85, note 3.

[3] Theory of evaporation insufficient to account for it. *cf.* p. 104, note 1.

πολὺ μὲν ὑπάρχοντος ἢ κατὰ τοὺς πυροὺς λεπτομερεστέρου, δεχομένου δ' οὐδὲ τὸ δέκατον μέρος τῆς εἰς ἐκείνους μεταλαμβανομένης ὑγρότητος.

## XV

Ἐπεὶ δ' ἱκανῶς ἠδολεσχήσαμεν οὐχ ἑκόντες, ἀλλ', ὡς ἡ παροιμία φησί, μαινομένοις ἀναγ-
57 κασθέντες συμ||μανῆναι, πάλιν ἐπὶ τὴν τῶν οὔρων ἐπανέλθωμεν διάκρισιν, ἐν ᾗ τῶν μὲν Ἀσκληπιάδου λήρων ἐπιλαθώμεθα, μετὰ δὲ τῶν πεπεισμένων διηθεῖσθαι τὰ οὖρα διὰ τῶν νεφρῶν, τίς ὁ τρόπος τῆς ἐνεργείας ἐστίν, ἐπισκεψώμεθα· πάντως γὰρ ἢ ἐξ αὑτῶν ἐπὶ τοὺς νεφροὺς φέρεται τὰ οὖρα τοῦτο βέλτιον εἶναι νομίζοντα, καθάπερ ἡμεῖς, ὁπόταν εἰς τὴν ἀγορὰν ἀπίωμεν· ἤ, εἰ τοῦτ' ἀδύνατον, ἕτερόν τι χρὴ τῆς φορᾶς αὐτῶν ἐξευρεῖν αἴτιον. τί δὴ τοῦτ' ἔστιν; εἰ γὰρ μὴ τοῖς νεφροῖς δώσομέν τινα δύναμιν ἑλκτικὴν τῆς τοιαύτης ποιότητος, ὡς Ἱπποκράτης ἐνόμιζεν, οὐδὲν ἕτερον ἐξευρήσομεν. ὅτι μὲν γὰρ ἤτοι τούτους ἕλκειν αὐτὸ προσῆκεν ἢ τὰς φλέβας πέμπειν, εἴπερ γε μὴ ἐξ ἑαυτοῦ φέρεται, παντί που δῆλον. ἀλλ' εἰ μὲν αἱ φλέβες περιστελλόμεναι προωθοῖεν, οὐκ ἐκεῖνο μόνον, ἀλλὰ σὺν αὐτῷ καὶ τὸ πᾶν αἷμα τὸ περιεχόμενον ἐν ἑαυταῖς εἰς τοὺς νεφροὺς ἐκθλίψουσιν· εἰ δὲ τοῦτ' ἀδύνατον, ὡς δείξομεν, λείπεται τοὺς νεφροὺς ἕλκειν.

much more rarefied there than it is amongst the corn, yet it does not take up a tenth part of the moisture which the corn does.

## XV

Since, then, we have talked sufficient nonsense—not willingly, but because we were forced, as the proverb says, "to behave madly among madmen"—let us return again to the subject of urinary secretion. Here let us forget the absurdities of Asclepiades, and, in company with those who are persuaded that the urine does pass through the kidneys, let us consider what is the character of this function. For, most assuredly, either the urine is conveyed by its own motion to the kidneys, considering this the better course (as do we when we go off to market![1]), or, if this be impossible, then some other reason for its conveyance must be found. What, then, is this? If we are not going to grant the kidneys a faculty for attracting this particular quality,[2] as Hippocrates held, we shall discover no other reason. For, surely everyone sees that either the kidneys must attract the urine, or the veins must propel it—if, that is, it does not move of itself. But if the veins did exert a propulsive action when they contract, they would squeeze out into the kidneys not merely the urine, but along with it the whole of the blood which they contain.[3] And if this is impossible, as we shall show, the remaining explanation is that the kidneys do exert traction.

[1] Playful suggestion of free-will in the urine.
[2] Specific attraction. *cf.* p. 87, note 2.
[3] *i.e.* there would be no selective action.

Πῶς οὖν ἀδύνατον τοῦτο; τῶν νεφρῶν ἡ θέσις ἀντιβαίνει. οὐ γὰρ δὴ οὕτω γ' ὑπόκεινται τῇ
58 κοίλῃ φλεβὶ || καθάπερ τοῖς ἐξ ἐγκεφάλου περιττώμασιν ἔν τε τῇ ῥινὶ καὶ κατὰ τὴν ὑπερῴαν οἱ τοῖς ἠθμοῖς ὅμοιοι πόροι, ἀλλ' ἑκατέρωθεν αὐτῇ παράκεινται. καὶ μήν, εἴπερ ὁμοίως τοῖς ἠθμοῖς ὅσον ἂν ᾖ λεπτότερον καὶ τελέως ὀρρῶδες, τοῦτο μὲν ἑτοίμως διαπέμπουσι, τὸ δὲ παχύτερον ἀποστέγουσιν, ἅπαν ἐπ' αὐτοὺς ἰέναι χρὴ τὸ αἷμα τὸ περιεχόμενον ἐν τῇ κοίλῃ φλεβί, καθάπερ εἰς τοὺς τρυγητοὺς ὁ πᾶς οἶνος ἐμβάλλεται. καὶ μέν γε καὶ τὸ τοῦ γάλακτος τοῦ τυρουμένου παράδειγμα σαφῶς ἄν, ὃ βούλομαι λέγειν, ἐνδείξαιτο. καὶ γὰρ καὶ τοῦτο πᾶν ἐμβληθὲν εἰς τοὺς ταλάρους οὐ πᾶν διηθεῖται, ἀλλ' ὅσον μὲν ἂν ᾖ λεπτότερον τῆς εὐρύτητος τῶν πλοκάμων, εἰς τὸ κάταντες φέρεται καὶ τοῦτο μὲν ὀρρὸς ἐπονομάζεται· τὸ λοιπὸν δὲ τὸ παχὺ τὸ μέλλον ἔσεσθαι τυρός, ὡς ἂν οὐ παραδεχομένων αὐτὸ τῶν ἐν τοῖς ταλάροις πόρων, οὐ διεκπίπτει κάτω. καὶ τοίνυν, εἴπερ οὕτω μέλλει διηθεῖσθαι τῶν νεφρῶν ὁ τοῦ αἵματος ὀρρός, ἅπαν ἐπ' αὐτοὺς ἥκειν χρὴ τὸ αἷμα καὶ μὴ τὸ μὲν ναί, τὸ δ' οὔ. ||

59 Πῶς οὖν ἔχει τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς;

Τὸ μὲν ἕτερον μέρος τῆς κοίλης ἄνω πρὸς τὴν καρδίαν ἀναφέρεται, τὸ λοιπὸν δ' ἐπιβαίνει τῇ ῥάχει καθ' ὅλης αὐτῆς ἐκτεινόμενον ἄχρι τῶν σκελῶν, ὥστε τὸ μὲν ἕτερον οὐδ' ἐγγὺς ἀφικνεῖται

---

[1] Nasal mucus was supposed to be the non-utilizable part of the nutriment conveyed to the brain. *cf.* p. 214, note 3.

And how is propulsion by the veins impossible? The situation of the kidneys is against it. They do not occupy a position beneath the hollow vein [vena cava] as does the sieve-like [ethmoid] passage in the nose and palate in relation to the surplus matter from the brain;[1] they are situated on both sides of it. Besides, if the kidneys are like sieves, and readily let the thinner serous [whey-like] portion through, and keep out the thicker portion, then the whole of the blood contained in the vena cava must go to them, just as the whole of the wine is thrown into the filters. Further, the example of milk being made into cheese will show clearly what I mean. For this, too, although it is all thrown into the wicker strainers, does not all percolate through; such part of it as is too fine in proportion to the width of the meshes passes downwards, and this is called *whey* [serum]; the remaining thick portion which is destined to become cheese cannot get down, since the pores of the strainers will not admit it. Thus it is that, if the blood-serum has similarly to percolate through the kidneys, the whole of the blood must come to them, and not merely one part of it.

What, then, is the appearance as found on dissection?

One division of the vena cava is carried upwards[2] to the heart, and the other mounts upon the spine and extends along its whole length as far as the legs; thus one division does not even come near the

[2] He means from its origin in the liver (*i.e.* in the three hepatic veins). His idea was that the upper division took nutriment to heart, lungs, head, etc., and the lower division to lower part of body. On the relation of right auricle to vena cava and right ventricle, *cf.* p. 321, notes 4 and 5.

τῶν νεφρῶν, τὸ λοιπὸν δὲ πλησιάζει μέν, οὐ μὴν εἰς αὐτούς γε καταφύεται. ἐχρῆν δ', εἴπερ ἔμελλεν ὡς δι' ἠθμῶν αὐτῶν καθαρθήσεσθαι τὸ αἷμα, πᾶν ἐμπίπτειν εἰς αὐτοὺς κἄπειτα κάτω μὲν φέρεσθαι τὸ λεπτόν, ἴσχεσθαι δ' ἄνω τὸ παχύ. νυνὶ δ' οὐχ οὕτως ἔχει· πλάγιοι γὰρ ἑκατέρωθεν τῆς κοίλης φλεβὸς οἱ νεφροὶ κεῖνται. οὔκουν ὡς ἠθμοὶ διηθοῦσι, πεμπούσης μὲν ἐκείνης, αὐτοὶ δ' οὐδεμίαν εἰσφερόμενοι δύναμιν, ἀλλ' ἕλκουσι δηλονότι· τοῦτο γὰρ ἔτι λείπεται.

Πῶς οὖν ἕλκουσιν; εἰ μέν, ὡς Ἐπίκουρος οἴεται τὰς ὁλκὰς ἁπάσας γίγνεσθαι κατὰ τὰς τῶν ἀτόμων ἀποπάλσεις τε καὶ περιπλοκάς, ἄμεινον ἦν ὄντως εἰπεῖν αὐτοὺς μηδ' ἕλκειν ὅλως· πολὺ γὰρ ἂν οὕτω γε τῶν ἐπὶ τῆς ἡρακλείας λίθου
60 μικρῷ πρόσθεν εἰρη||μένων ὁ λόγος ἐξεταζόμενος εὑρεθείη γελοιότερος· ἀλλ' ὡς Ἱπποκράτης ἠβούλετο. λεχθήσεται δὲ σαφέστερον ἐπὶ προήκοντι τῷ λόγῳ. νυνὶ γὰρ οὐ τοῦτο πρόκειται διδάσκειν, ἀλλ' ὡς οὔτ' ἄλλο τι δυνατὸν εἰπεῖν αἴτιον εἶναι τῆς τῶν οὔρων διακρίσεως πλὴν τῆς ὁλκῆς τῶν νεφρῶν οὔθ' οὕτω γίγνεσθαι τὴν ὁλκήν, ὡς οἱ μηδεμίαν οἰκείαν διδόντες τῇ φύσει δύναμιν οἴονται γίγνεσθαι.

Τούτου γὰρ ὁμολογηθέντος, ὡς ἔστιν ὅλως τις ἐν τοῖς ὑπὸ φύσεως διοικουμένοις δύναμις ἑλκτική, ληρώδης νομίζοιτ' ἂν ὁ περὶ ἀναδόσεως τροφῆς ἄλλο τι λέγειν ἐπιχειρῶν.

---

[1] We arrive at our belief by excluding other possibilities.
[2] *i.e.* the mechanistic physicists. *cf.* pp. 45–47.
[3] *cf.* p. 85, note 3.

kidneys, while the other approaches them but is certainly not inserted into them. Now, if the blood were destined to be purified by them as if they were sieves, the whole of it would have to fall into them, the thin part being thereafter conveyed downwards, and the thick part retained above. But, as a matter of fact, this is not so. For the kidneys lie on either side of the vena cava. They therefore do not act like sieves, filtering fluid sent to them by the vena cava, and themselves contributing no force. They obviously exert traction; for this is the only remaining alternative.

*How*, then, do they exert this traction? If, as Epicurus thinks, all attraction takes place by virtue of the *rebounds* and *entanglements* of atoms, it would be certainly better to maintain that the kidneys have no attractive action at all; for his theory, when examined, would be found as it stands to be much more ridiculous even than the theory of the lodestone, mentioned a little while ago. Attraction occurs in the way that Hippocrates laid down; this will be stated more clearly as the discussion proceeds; for the present our task is not to demonstrate this, but to point out that no other cause of the secretion of urine can be given except that of attraction by the kidneys,[1] and that this attraction does not take place in the way imagined by people who do not allow Nature a faculty of her own.[2]

For if it be granted that there is any attractive faculty at all in those things which are governed by Nature,[3] a person who attempted to say anything else about the absorption of nutriment[4] would be considered a fool.

[4] The subject of *anadosis* is taken up in the next chapter. *cf.* also p. 62, note 1.

## XVI

Ἐρασίστρατος δ᾽ οὐκ οἶδ᾽ ὅπως ἑτέραις μέν τισι δόξαις εὐήθεσιν ἀντεῖπε διὰ μακρῶν, ὑπερέβη δὲ τελέως τὴν Ἱπποκράτους, οὐδ᾽ ἄχρι τοῦ μνημονεῦσαι μόνον αὐτῆς, ὡς ἐν τοῖς περὶ καταπόσεως ἐποίησεν, ἀξιώσας. ἐν ἐκείνοις μὲν γὰρ ἄχρι τοσούτου φαίνεται μνημονεύων, ὡς τοὔνομ᾽ εἰπεῖν τῆς ὁλκῆς μόνον ὧδέ πως γράφων·

"Ὁλκὴ μὲν οὖν τῆς κοιλίας οὐδεμία φαίνεται
61 εἶναι"· περὶ δὲ τῆς ‖ ἀναδόσεως τὸν λόγον ποιούμενος οὐδ᾽ ἄχρι συλλαβῆς μιᾶς ἐμνημόνευσε τῆς Ἱπποκρατείου δόξης. καίτοι γ᾽ ἐπήρκεσεν ἂν ἡμῖν, εἰ καὶ τοῦτ᾽ ἔγραψε μόνον, ὡς Ἱπποκράτης εἰπὼν "Σάρκες ὁλκοὶ καὶ ἐκ κοιλίης καὶ ἔξωθεν" ψεύδεται· οὔτε γὰρ ἐκ τῆς κοιλίας οὔτ᾽ ἔξωθεν ἕλκειν δύνανται. εἰ δὲ καὶ ὅτι μήτρας αἰτιώμενος ἄρρωστον αὐχένα κακῶς εἶπεν "Οὐ γὰρ δύναται αὐτέης ὁ στόμαχος εἰρύσαι τὴν γονήν," ἢ εἰ καί τι τοιοῦτον ἄλλο γράφειν ὁ Ἐρασίστρατος ἠξίωσε, τότ᾽ ἂν καὶ ἡμεῖς πρὸς αὐτὸν ἀπολογούμενοι εἴπομεν·

Ὦ γενναῖε, μὴ ῥητορικῶς ἡμῶν κατάτρεχε χωρὶς ἀποδείξεως, ἀλλ᾽ εἰπέ τινα κατηγορίαν τοῦ δόγματος, ἵν᾽ ἢ πεισθῶμέν σοι ὡς καλῶς ἐξελέγχοντι τὸν παλαιὸν λόγον ἢ μεταπείσωμεν

[1] On Erasistratus *v.* Introd. p. xii. His view that the stomach exerts no *holké*, or attraction, is dealt with more fully in Book III., chap. viii.

## XVI

Now, while Erasistratus[1] for some reason replied at great length to certain other foolish doctrines, he entirely passed over the view held by Hippocrates, not even thinking it worth while to mention it, as he did in his work "On Deglutition"; in that work, as may be seen, he did go so far as at least to make mention of the word *attraction*, writing somewhat as follows:

"Now, the stomach does not appear to exercise any attraction."[1] But when he is dealing with *anadosis* he does not mention the Hippocratic view even to the extent of a single syllable. Yet we should have been satisfied if he had even merely written this: "Hippocrates lies in saying 'The flesh[2] attracts both from the stomach and from without,' for it cannot attract either from the stomach or from without." Or if he had thought it worth while to state that Hippocrates was wrong in criticizing the weakness of the neck of the uterus, "seeing that the orifice of the uterus has no power of attracting semen,"[3] or if he [Erasistratus] had thought proper to write any other similar opinion, then we in our turn would have defended ourselves in the following terms:

"My good sir, do not run us down in this rhetorical fashion without some proof; state some definite objection to our view, in order that either you may convince us by a brilliant refutation of the ancient doctrine, or that, on the other hand, we may convert you from your ignorance." Yet why do I

[2] *i.e.* the tissues. [3] *cf.* p. 291.

ὡς ἀγνοοῦντα. καίτοι τί λέγω ῥητορικῶς; μὴ γάρ, ἐπειδή τινες τῶν ῥητόρων, ἃ μάλιστ' ἀδυνατοῦσι διαλύεσθαι, ταῦτα διαγελάσαντες οὐδ' ἐπιχειροῦσιν ἀντιλέγειν, ἤδη που τοῦτο καὶ ἡμεῖς ἡγώμεθ' εἶναι τὸ ῥητορικῶς· τὸ γὰρ διὰ λόγου
62 πιθανοῦ ἐστι τὸ || ῥητορικῶς, τὸ δ' ἄνευ λόγου βωμολοχικόν, οὐ ῥητορικόν. οὔκουν οὔτε ῥητορικῶς οὔτε διαλεκτικῶς ἀντεῖπεν ὁ Ἐρασίστρατος ἐν τῷ περὶ τῆς καταπόσεως λόγῳ. τί γάρ φησιν; "Ὁλκὴ μὲν οὖν τῆς κοιλίας οὐδεμία φαίνεται εἶναι." πάλιν οὖν αὐτῷ παρ' ἡμῶν ἀντιμαρτυρῶν ὁ αὐτὸς λόγος ἀντιπαραβαλλέσθω· περιστολὴ μὲν οὖν τοῦ στομάχου οὐδεμία φαίνεται εἶναι. καὶ πῶς οὐ φαίνεται; τάχ' ἂν ἴσως εἴποι τις τῶν ἀπ' αὐτοῦ· τὸ γὰρ ἀεὶ τῶν ἄνωθεν αὐτοῦ μερῶν συστελλομένων διαστέλλεσθαι τὰ κάτω πῶς οὐκ ἔστι τῆς περιστολῆς ἐνδεικτικόν; αὖθις οὖν ἡμεῖς, καὶ πῶς οὐ φαίνεται, φήσομεν, ἡ τῆς κοιλίας ὁλκή; τὸ γὰρ ἀεὶ τῶν κάτωθεν μερῶν τοῦ στομάχου διαστελλομένων συστέλλεσθαι τὰ ἄνω πῶς οὐκ ἔστι τῆς ὁλκῆς ἐνδεικτικόν; εἰ δὲ σωφρονήσειέ ποτε καὶ γνοίη τὸ φαινόμενον τοῦτο μηδὲν μᾶλλον τῆς ἑτέρας τῶν δοξῶν ὑπάρχειν ἐνδεικτικὸν ἀλλ' ἀμφοτέρων εἶναι κοινόν, οὕτως ἂν ἤδη δείξαιμεν αὐτῷ τὴν ὀρθὴν ὁδὸν τῆς τοῦ ἀληθοῦς εὑρέσεως.

Ἀλλὰ περὶ μὲν τῆς κοιλίας αὖθις. ἡ δὲ τῆς
63 τροφῆς ἀνάδοσις οὐδὲν δεῖται || τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ἅπαξ γε τῆς ἑλκτικῆς δυνάμεως

say "rhetorical"? For we too are not to suppose that when certain rhetoricians pour ridicule upon that which they are quite incapable of refuting, without any attempt at argument, their words are really thereby constituted rhetoric. For rhetoric proceeds by persuasive reasoning; words without reasoning are buffoonery rather than rhetoric. Therefore, the reply of Erasistratus in his treatise "On Deglutition" was neither rhetoric nor logic. For what is it that he says? "Now, the stomach does not appear to exercise any traction." Let us testify against him in return, and set our argument beside his in the same form. *Now, there appears to be no peristalsis*[1] *of the gullet.* "And how does this appear?" one of his adherents may perchance ask. "For is it not indicative of *peristalsis* that always when the upper parts of the gullet contract the lower parts dilate?" Again, then, we say, "And in what way does the attraction of the stomach not appear? For is it not indicative of *attraction* that always when the lower parts of the gullet dilate the upper parts contract?" Now, if he would but be sensible and recognize that this phenomenon is not more indicative of the one than of the other view, but that it applies equally to both,[2] we should then show him without further delay the proper way to the discovery of truth.

We will, however, speak about the stomach again. And the dispersal of nutriment [anadosis] need not make us have recourse to the theory regarding the

[1] *Peristalsis* may be used here to translate Gk. *peristolé*, meaning the contraction and dilation of muscle-fibres *circularly* round a lumen. *cf.* p. 263, note 2.

[2] For a demonstration that this phenomenon is a conclusive proof neither of *peristolé* nor of real vital *attraction*, but is found even in dead bodies *v.* p. 267.

ἐπὶ τῶν νεφρῶν ὡμολογημένης, ἣν καίτοι πάνυ σαφῶς ἀληθῆ γιγνώσκων ὑπάρχειν ὁ Ἐρασίστρατος οὔτ' ἐμνημόνευσεν οὔτ' ἀντεῖπεν οὔθ' ὅλως ἀπεφήνατο, τίν' ἔχει δόξαν ὑπὲρ τῆς τῶν οὔρων διακρίσεως.

Ἢ διὰ τί προειπὼν εὐθὺς κατ' ἀρχὰς τῶν καθ' ὅλου λόγων, ὡς ὑπὲρ τῶν φυσικῶν ἐνεργειῶν ἐρεῖ, πρῶτον τίνες τ' εἰσὶ καὶ πῶς γίγνονται καὶ διὰ τίνων τόπων, ἐπὶ τῆς τῶν οὔρων διακρίσεως, ὅτι μὲν διὰ νεφρῶν, ἀπεφήνατο, τὸ δ' ὅπως γίγνεται παρέλιπε; μάτην οὖν ἡμᾶς καὶ περὶ τῆς πέψεως ἐδίδαξεν, ὅπως γίγνεται, καὶ περὶ τῆς τοῦ χολώδους περιττώματος διακρίσεως κατατρίβει. ἤρκει γὰρ εἰπεῖν κἀνταῦθα τὰ μόρια, δι' ὧν γίγνεται, τὸ δ' ὅπως παραλιπεῖν. ἀλλὰ περὶ μὲν ἐκείνων εἶχε λέγειν, οὐ μόνον δι' ὧν ὀργάνων ἀλλὰ καὶ καθ' ὅντινα γίγνεται τρόπον, ὥσπερ οἶμαι καὶ περὶ τῆς ἀναδόσεως· οὐ γὰρ ἤρκεσεν εἰπεῖν αὐτῷ μόνον, ὅτι διὰ φλεβῶν, ἀλλὰ καὶ πῶς ἐπεξῆλθεν, ὅτι τῇ
64 πρὸς || τὸ κενούμενον ἀκολουθίᾳ· περὶ δὲ τῶν οὔρων τῆς διακρίσεως, ὅτι μὲν διὰ νεφρῶν γίγνεται, γράφει, τὸ δ' ὅπως οὐκέτι προστίθησιν. οὐδὲ γὰρ οἶμαι τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ ἦν εἰπεῖν· οὕτω γὰρ ἂν οὐδεὶς ὑπ' ἰσχουρίας ἀπέθανεν οὐδέποτε μὴ δυναμένου πλείονος ἐπιρ-

---

[1] This was Erasistratus's favourite principle, known in Latin as the "horror vacui" and in English as "Nature's abhorrence of a vacuum," although these terms are not an exact translation of the Greek. *τὸ κενούμενον* probably means

*natural tendency of a vacuum to become refilled*,[1] when once we have granted the attractive faculty of the kidneys. Now, although Erasistratus knew that this faculty most certainly existed, he neither mentioned it nor denied it, nor did he make any statement as to his views on the secretion of urine.

Why did he give notice at the very beginning of his "General Principles" that he was going to speak about natural activities—firstly what they are, how they take place, and in what situations—and then, in the case of urinary secretion, declared that this took place through the kidneys, but left out its method of occurrence? It must, then, have been for no purpose that he told us how digestion occurs, or spends time upon the secretion of biliary superfluities;[2] for in these cases also it would have been sufficient to have named the parts through which the function takes place, and to have omitted the method. On the contrary, in these cases he was able to tell us not merely through what organs, but also in what way it occurs—as he also did, I think, in the case of *anadosis*; for he was not satisfied with saying that this took place through the veins, but he also considered fully the method, which he held to be from the tendency of a vacuum to become refilled. Concerning the secretion of urine, however, he writes that this occurs through the kidneys, but does not add in what *way* it occurs. I do not think he could say that this was from the tendency of matter to fill a vacuum,[3] for, if this were so, nobody would have ever died of retention of urine, since no more can

*the vacuum*, not the *matter evacuated*, although Galen elsewhere uses κενόω in the latter (non-classical) sense, *e.g.* pp. 67, 215. Akolouthia is a *following-up*, a *sequence*, almost a *consequence*. [2] *v.* p. 123. [3] *cf.* Book II., chap. i.

*ρυῆναί ποτε παρὰ τὸ κενούμενον· ἄλλης γὰρ αἰτίας μηδεμιᾶς προστεθείσης, ἀλλὰ μόνης τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ποδηγούσης τὸ συνεχές, οὐκ ἐγχωρεῖ πλέον ἐπιρρυῆναί ποτε τοῦ κενουμένου. ἀλλ' οὐδ' ἄλλην τινὰ προσθεῖναι πιθανὴν αἰτίαν εἶχεν, ὡς ἐπὶ τῆς ἀναδόσεως τὴν ἔκθλιψιν τῆς γαστρός. ἀλλ' αὕτη γ' ἐπὶ τοῦ κατὰ τὴν κοίλην αἵματος ἀπωλώλει τελέως, οὐ τῷ μήκει μόνον τῆς ἀποστάσεως ἐκλυθεῖσα, ἀλλὰ καὶ τῷ τὴν καρδίαν ὑπερκειμένην ἐξαρπάζειν αὐτῆς σφοδρῶς καθ' ἑκάστην διαστολὴν οὐκ ὀλίγον αἷμα.*

Μόνη *δή τις ἔτι καὶ πάντων ἔρημος ἀπελείπετο τῶν σοφισμάτων ἐν τοῖς κάτω τῆς κοίλης ἡ πρὸς* ||
65 *τὸ κενούμενον ἀκολουθία, διά τε τοὺς ἐπὶ ταῖς ἰσχουρίαις ἀποθνήσκοντας ἀπολωλεκυῖα τὴν πιθανότητα καὶ διὰ τὴν τῶν νεφρῶν θέσιν οὐδὲν ἧττον. εἰ μὲν γὰρ ἅπαν ἐπ' αὐτοὺς ἐφέρετο τὸ αἷμα, δεόντως ἄν τις ἅπαν ἔφασκεν αὐτὸ καθαίρεσθαι. νυνὶ δέ, οὐ γὰρ ὅλον ἀλλὰ τοσοῦτον αὐτοῦ μέρος, ὅσον αἱ μέχρι νεφρῶν δέχονται φλέβες, ἐπ' αὐτοὺς ἔρχεται, μόνον ἐκεῖνο καθαρθήσεται. καὶ τὸ μὲν ὀρρῶδες αὐτοῦ καὶ λεπτὸν οἷον δι' ἠθμῶν τινων τῶν νεφρῶν διαδύσεται· τὸ δ' αἱματῶδές τε καὶ παχὺ κατὰ τὰς φλέβας ὑπομένον ἐμποδὼν στήσεται τῷ κατόπιν ἐπιρρέοντι. παλινδρομεῖν οὖν αὐτὸ πρότερον ἐπὶ τὴν κοίλην ἀναγκαῖον καὶ κενὰς οὕτως ἐργάζεσθαι τὰς ἐπὶ τοὺς νεφροὺς ἰούσας φλέβας, αἳ δεύτερον οὐκέτι*

---

[1] Vital factor necessary over and above the mechanical.
[2] *cf.* p. 119, note 2. [3] pp. 91, 93.

flow into a vacuum than has run out. For, if no other factor comes into operation[1] save only this tendency by which a vacuum becomes refilled, no more could ever flow in than had been evacuated. Nor could he suggest any other plausible cause, such, for example, as the expression of nutriment by the stomach[2] which occurs in the process of anadosis; this had been entirely disproved in the case of blood in the vena cava;[3] it is excluded, not merely owing to the long distance, but also from the fact that the overlying heart, at each diastole, robs the vena cava by violence of a considerable quantity of blood.

In relation to the lower part of the vena cava[4] there would still remain, solitary and abandoned, the specious theory concerning the filling of a vacuum. This, however, is deprived of plausibility by the fact that people die of retention of urine, and also, no less, by the situation of the kidneys. For, if the whole of the blood were carried to the kidneys, one might properly maintain that it all undergoes purification there. But, as a matter of fact, the whole of it does not go to them, but only so much as can be contained in the veins going to the kidneys;[5] this portion only, therefore, will be purified. Further, the thin serous part of this will pass through the kidneys as if through a sieve, while the thick sanguineous portion remaining in the veins will obstruct the blood flowing in from behind; this will first, therefore, have to run back to the vena cava, and so to empty the veins going to the kidneys; these veins will no longer be able to

[4] *i.e.* the part below the liver; *cf.* p. 91, note 2.
[5] Renal veins.

παρακομιοῦσιν ἐπ' αὐτοὺς ἀκάθαρτον αἷμα· κατειληφότος γὰρ αὐτὰς τοῦ προτέρου πάροδος οὐδεμία λέλειπται. τίς οὖν ἡμῖν ἡ δύναμις ἀπάξει πάλιν ὀπίσω τῶν νεφρῶν τὸ καθαρὸν αἷμα; τίς δὲ τοῦτο μὲν διαδεξαμένη κελεύσει πάλιν πρὸς τὸ κάτω μέρος ἰέναι τῆς κοίλης, ἑτέρῳ δ' ἄνωθεν
66 ἐπιφερομένῳ προστάξει, πρὶν || ἐπὶ τοὺς νεφροὺς ἀπελθεῖν, μὴ φέρεσθαι κάτω;

Ταῦτ' οὖν ἅπαντα συνιδὼν ὁ Ἐρασίστρατος ἀποριῶν μεστὰ καὶ μίαν μόνην δόξαν εὔπορον εὑρὼν ἐν ἅπασι τὴν τῆς ὁλκῆς, οὔτ' ἀπορεῖσθαι βουλόμενος οὔτε τὴν Ἱπποκράτους ἐθέλων λέγειν ἄμεινον ὑπέλαβε σιωπητέον εἶναι περὶ τοῦ τρόπου τῆς διακρίσεως.

Ἀλλ' εἰ κἀκεῖνος ἐσίγησεν, ἡμεῖς οὐ σιωπήσομεν· ἴσμεν γάρ, ὡς οὐκ ἐνδέχεται παρελθόντα τὴν Ἱπποκράτειον δόξαν, εἶθ' ἕτερόν τι περὶ νεφρῶν ἐνεργείας εἰπόντα μὴ οὐ καταγέλαστον εἶναι παντάπασι. διὰ τοῦτ' Ἐρασίστρατος μὲν ἐσιώπησεν, Ἀσκληπιάδης δ' ἐψεύσατο παραπλησίως οἰκέταις λάλοις μὲν τὰ πρόσθεν τοῦ βίου καὶ πολλὰ πολλάκις ἐγκλήματα διαλυσαμένοις ὑπὸ περιττῆς πανουργίας, ἐπ' αὐτοφώρῳ δέ ποτε κατειλημμένοις, εἶτ' οὐδὲν ἐξευρίσκουσι σόφισμα κἄπειτ' ἐνταῦθα τοῦ μὲν αἰδημονεστέρου σιωπῶντος, οἷον ἀποπληξίᾳ τινὶ κατειλημμένου, τοῦ δ' ἀναισχυντοτέρου κρύπτοντος μὲν ἔθ' ὑπὸ μάλης τὸ ζητούμενον, ἐξομνυμένου δὲ καὶ μηδ' ἑωρακέναι πώποτε φάσκοντος. οὕτω γάρ τοι καὶ ὁ Ἀσκλη-
67 πιάδης || ἐπιλειπόντων αὐτὸν τῶν τῆς πανουργίας σοφισμάτων καὶ μήτε τῆς πρὸς τὸ λεπτομερὲς

conduct a second quantity of unpurified blood to the kidneys—occupied as they are by the blood which had preceded, there is no passage left. What power have we, then, which will draw back the purified blood from the kidneys? And what power, in the next place, will bid this blood retire to the lower part of the vena cava, and will enjoin on another quantity coming from above not to proceed downwards before turning off into the kidneys?

Now Erasistratus realized that all these ideas were open to many objections, and he could only find one idea which held good in all respects—namely, that of *attraction*. Since, therefore, he did not wish either to get into difficulties or to mention the view of Hippocrates, he deemed it better to say nothing at all as to the manner in which secretion occurs.

But even if he kept silence, I am not going to do so. For I know that if one passes over the Hippocratic view and makes some other pronouncement about the function of the kidneys, one cannot fail to make oneself utterly ridiculous. It was for this reason that Erasistratus kept silence and Asclepiades lied; they are like slaves who have had plenty to say in the early part of their career, and have managed by excessive rascality to escape many and frequent accusations, but who, later, when caught in the act of thieving, cannot find any excuse; the more modest one then keeps silence, as though thunderstruck, whilst the more shameless continues to hide the missing article beneath his arm and denies on oath that he has ever seen it. For it was in this way also that Asclepiades, when all subtle excuses had failed him and there was no longer any room for nonsense about "conveyance towards the

φορᾶς ἐχούσης ἔτι χώραν ἐνταυθοῖ ληρεῖσθαι μήθ' ὡς ὑπὸ τῶν νεφρῶν γεννᾶται τουτὶ τὸ περίττωμα, καθάπερ ὑπὸ τῶν ἐν ἥπατι πόρων ἡ χολή, δυνατὸν ὂν εἰπόντα μὴ οὐ μέγιστον ὀφλεῖν γέλωτα, ἐξόμνυταί τε καὶ ψεύδεται φανερῶς, οὐ διήκειν λέγων ἐπὶ τοὺς νεφροὺς τὸ οὖρον ἀλλ' ἀτμοειδῶς εὐθὺς ἐκ τῶν κατὰ τὴν κοίλην μερῶν εἰς τὴν κύστιν ἀθροίζεσθαι.

Οὗτοι μὲν οὖν τοῖς ἐπ' αὐτοφώρῳ κατειλημμένοις οἰκέταις ὁμοίως ἐκπλαγέντες ὁ μὲν ἐσιώπησεν, ὁ δ' ἀναισχύντως ψεύδεται.

## XVII

Τῶν δὲ νεωτέρων ὅσοι τοῖς τούτων ὀνόμασιν ἑαυτοὺς ἐσέμνυναν Ἐρασιστρατείους τε καὶ Ἀσκληπιαδείους ἐπονομάσαντες, ὁμοίως τοῖς ὑπὸ τοῦ βελτίστου Μενάνδρου κατὰ τὰς κωμῳδίας εἰσαγομένοις οἰκέταις, Δάοις τέ τισι καὶ Γέταις, οὐδὲν ἡγουμένοις σφίσι πεπρᾶχθαι γενναῖον, εἰ μὴ τρὶς ἐξαπατήσειαν τὸν δεσπότην, οὕτω καὶ αὐτοὶ κατὰ πολλὴν σχολὴν ἀναίσχυντα σοφίσματα συνέθεσαν, οἱ μέν, ἵνα μηδ' ὅλως ἐξελεγχθείη ποτ' ||
68 Ἀσκληπιάδης ψευδόμενος, οἱ δ', ἵνα κακῶς εἴπωσιν, ἃ καλῶς ἐσιώπησεν Ἐρασίστρατος.

Ἀλλὰ τῶν μὲν Ἀσκληπιαδείων ἅλις. οἱ δ' Ἐρασιστράτειοι λέγειν ἐπιχειροῦντες, ὅπως οἱ νεφροὶ διηθοῦσι τὸ οὖρον, ἅπαντα δρῶσί τε καὶ

---

[1] *cf.* p. 87, note 3.

[2] κοίλην: the usual reading is κοιλίαν, which would make

rarefied part [of the air]," [1] and when it was impossible without incurring the greatest derision to say that this superfluity [*i.e.* the urine] is generated by the kidneys as is bile by the canals in the liver—he, then, I say, clearly lied when he swore that the urine does not reach the kidneys, and maintained that it passes, in the form of vapour, straight from the region of the vena cava,[2] to collect in the bladder.

Like slaves, then, caught in the act of stealing, these two are quite bewildered, and while the one says nothing, the other indulges in shameless lying.

## XVII

Now such of the younger men as have dignified themselves with the names of these two authorities by taking the appellations "Erasistrateans" or "Asclepiadeans" are like the *Davi* and *Getae*—the slaves introduced by the excellent Menander into his comedies. As these slaves held that they had done nothing fine unless they had cheated their master three times, so also the men I am discussing have taken their time over the construction of impudent sophisms, the one party striving to prevent the lies of Asclepiades from ever being refuted, and the other saying stupidly what Erasistratus had the sense to keep silence about.

But enough about the Asclepiadeans. The Erasistrateans, in attempting to say how the kidneys let the urine through, will do anything or suffer anything

it "from the region of the alimentary canal." *cf.* p. 118, note 1.

*πάσχουσι καὶ παντοῖοι γίγνονται πιθανὸν ἐξευρεῖν τι ζητοῦντες αἴτιον ὁλκῆς μὴ δεόμενον.*

*Οἱ μὲν δὴ πλησίον Ἐρασιστράτου τοῖς χρόνοις γενόμενοι τὰ μὲν ἄνω τῶν νεφρῶν μόρια καθαρὸν αἷμα λαμβάνειν φασί, τῷ δὲ βάρος ἔχειν τὸ ὑδατῶδες περίττωμα βρίθειν τε καὶ ὑπορρεῖν κάτω· διηθούμενον δ' ἐνταῦθα κατὰ τοὺς νεφροὺς αὐτοὺς χρηστὸν οὕτω γενόμενον ἅπασι τοῖς κάτω τῶν νεφρῶν ἐπιπέμπεσθαι τὸ αἷμα.*

*Καὶ μέχρι γέ τινος εὐδοκίμησεν ἥδε ἡ δόξα καὶ ἤκμασε καὶ ἀληθὴς ἐνομίσθη· χρόνῳ δ' ὕστερον καὶ αὐτοῖς τοῖς Ἐρασιστρατείοις ὕποπτος ἐφάνη καὶ τελευτῶντες ἀπέστησαν αὐτῆς. αἰτεῖσθαι γὰρ ἐδόκουν δύο ταῦτα μήτε συγχωρούμενα πρός τινος ἀλλ' οὐδ' ἀποδειχθῆναι δυνάμενα, πρῶτον μὲν τὸ βάρος τῆς ὀρρώδους ὑγρότητος ἐν τῇ*
69 *κοίλῃ || φλεβὶ γεννώμενον, ὥσπερ οὐκ ἐξ ἀρχῆς ὑπάρχον, ὁπότ' ἐκ τῆς κοιλίας εἰς ἧπαρ ἀνεφέρετο. τί δὴ οὖν οὐκ εὐθὺς ἐν ἐκείνοις τοῖς χωρίοις ὑπέρρει κάτω; πῶς δ' ἄν τῳ δόξειεν εὐλόγως εἰρῆσθαι συντελεῖν εἰς τὴν ἀνάδοσιν ἡ ὑδατώδης ὑγρότης, εἴπερ οὕτως ἐστὶ βαρεῖα;*

*Δεύτερον δ' ἄτοπον, ὅτι κἂν κάτω συγχωρηθῇ φέρεσθαι πᾶσα καὶ μὴ κατ' ἄλλο χωρίον ἢ τὴν κοίλην φλέβα, τίνα τρόπον εἰς τοὺς νεφροὺς ἐμπεσεῖται, χαλεπόν, μᾶλλον δ' ἀδύνατον εἰπεῖν, μήτ' ἐν τοῖς κάτω μέρεσι κειμένων αὐτῶν τῆς φλεβὸς ἀλλ' ἐκ τῶν πλαγίων μήτ' ἐμφυομένης εἰς αὐτοὺς τῆς κοίλης ἀλλ' ἀπόφυσίν τινα μόνον*

or try any shift in order to find some plausible explanation which does not demand the principle of *attraction.*

Now those near the times of Erasistratus maintain that the parts above the kidneys receive pure blood, whilst the watery residue, being heavy, tends to run downwards; that this, after percolating through the kidneys themselves, is thus rendered serviceable, and is sent, as blood, to all the parts below the kidneys.

For a certain period at least this view also found favour and flourished, and was held to be true; after a time, however, it became suspect to the Erasistrateans themselves, and at last they abandoned it. For apparently the following two points were assumed, neither of which is conceded by anyone, nor is even capable of being proved. The first is the heaviness of the serous fluid, which was said to be produced in the vena cava, and which did not exist, apparently, at the beginning, when this fluid was being carried up from the stomach to the liver. Why, then, did it not at once run downwards when it was in these situations? And if the watery fluid is so heavy, what plausibility can anyone find in the statement that it assists in the process of *anadosis*?

In the second place there is this absurdity, that even if it be agreed that all the watery fluid does fall downwards, and only when it is in the vena cava,[1] still it is difficult, or, rather, impossible, to say through what means it is going to fall into the kidneys, seeing that these are not situated below, but on either side of the vena cava, and that the vena cava is not inserted into them, but merely sends a branch[2]

[1] Not at an earlier stage, when it is still on its way from the alimentary canal to the liver. [2] *i.e.* a renal vein.

εἰς ἑκάτερον πεμπούσης, ὥσπερ καὶ εἰς τἆλλα πάντα μόρια.

Τίς οὖν ἡ διαδεξαμένη ταύτην δόξα καταγνωσθεῖσαν; ἐμοὶ μὲν ἠλιθιωτέρα μακρῷ φαίνεται τῆς προτέρας. ἤκμασε δ' οὖν καὶ αὕτη ποτέ. φασὶ γάρ, εἰ κατὰ τῆς γῆς ἐκχυθείη μεμιγμένον ἔλαιον ὕδατι, διάφορον ἑκάτερον ὁδὸν βαδιεῖσθαι καὶ ῥυήσεσθαι τὸ μὲν τῇδε, τὸ δὲ τῇδε. θαυμαστὸν οὖν οὐδὲν εἶναί φασιν, εἰ τὸ μὲν ὑδατῶδες ὑγρὸν
70 εἰς τοὺς νε||φροὺς ῥεῖ, τὸ δ' αἷμα διὰ τῆς κοίλης φέρεται κάτω. κατέγνωσται οὖν ἤδη καὶ ἥδε ἡ δόξα. διὰ τί γὰρ ἀπὸ τῆς κοίλης μυρίων ἐκπεφυκυιῶν φλεβῶν αἷμα μὲν εἰς τὰς ἄλλας ἁπάσας, ἡ δ' ὀρρώδης ὑγρότης εἰς τὰς ἐπὶ τοὺς νεφροὺς φερομένας ἐκτρέπεται; τοῦτ' αὐτὸ τὸ ζητούμενον οὐκ εἰρήκασιν, ἀλλὰ τὸ γιγνόμενον εἰπόντες μόνον οἴονται τὴν αἰτίαν ἀποδεδωκέναι.

Πάλιν οὖν, τὸ τρίτον τῷ σωτῆρι, τὴν χειρίστην ἁπασῶν δόξαν ἐξευρημένην νῦν ὑπὸ Λύκου τοῦ Μακεδόνος, εὐδοκιμοῦσαν δὲ διὰ τὸ καινὸν ἤδη λέγωμεν. ἀπεφήνατο γὰρ δὴ ὁ Λύκος οὗτος, ὥσπερ ἐξ ἀδύτου τινὸς χρησμὸν ἀποφθεγγόμενος, περίττωμα τῆς τῶν νεφρῶν θρέψεως εἶναι τὸ οὖρον. ὅτι μὲν οὖν αὐτὸ τὸ πινόμενον ἅπαν οὖρον γίγνεται, πλὴν εἴ τι μετὰ τῶν διαχωρημάτων ὑπῆλθεν ἢ εἰς ἱδρῶτας ἀπεχώρησεν ἢ εἰς τὴν ἄδηλον διαπνοήν, ἐναργῶς ἐνδείκνυται τὸ πλῆθος τῶν καθ' ἑκάστην ἡμέραν οὐρουμένων. ἐν χειμῶνι δὲ μάλιστα μαθεῖν ἔστιν ἐπὶ τῶν ἀργούντων μέν, κωθωνιζομένων δέ, καὶ μάλιστ'
71 εἰ λεπτὸς ὁ οἶνος εἴη καὶ πόριμος. οὐροῦσι || γὰρ

into each of them, as it also does into all the other parts.

What doctrine, then, took the place of this one when it was condemned? One which to me seems far more foolish than the first, although it also flourished at one time. For they say, that if oil be mixed with water and poured upon the ground, each will take a different route, the one flowing this way and the other that, and that, therefore, it is not surprising that the watery fluid runs into the kidneys, while the blood falls downwards along the vena cava. Now this doctrine also stands already condemned. For why, of the countless veins which spring from the vena cava, should blood flow into all the others, and the serous fluid be diverted to those going to the kidneys? They have not answered the question which was asked; they merely state what happens and imagine they have thereby assigned the reason.

Once again, then (the third cup to the Saviour!),[1] let us now speak of the worst doctrine of all, lately invented by Lycus of Macedonia,[2] but which is popular owing to its novelty. This Lycus, then, maintains, as though uttering an oracle from the inner sanctuary, that urine is *residual matter from the nutrition of the kidneys*![3] Now, the amount of urine passed every day shows clearly that it is the whole of the fluid drunk which becomes urine, except for that which comes away with the dejections or passes off as sweat or insensible perspiration. This is most easily recognized in winter in those who are doing no work but are carousing, especially if the wine be thin and diffusible;

[1] In a toast, the third cup was drunk to Zeus Sôtêr (the Saviour).

[2] An anatomist of the Alexandrian school.

[3] *cf.* nasal mucus, p. 90, note 1.

οὗτοι διὰ ταχέων ὀλίγου δεῖν, ὅσονπερ καὶ πίνουσιν. ὅτι δὲ καὶ ὁ Ἐρασίστρατος οὕτως ἐγίγνωσκεν, οἱ τὸ πρῶτον ἀνεγνωκότες αὐτοῦ σύγγραμμα τῶν καθόλου λόγων ἐπίστανται. ὥσθ' ὁ Λύκος οὔτ' ἀληθῆ φαίνεται λέγων οὔτ' Ἐρασιστράτεια, δῆλον δ' ὡς οὐδ' Ἀσκληπιάδεια, πολὺ δὲ μᾶλλον οὐδ' Ἱπποκράτεια. λευκῷ τοίνυν κατὰ τὴν παροιμίαν ἔοικε κόρακι μήτ' αὐτοῖς τοῖς κόραξιν ἀναμιχθῆναι δυναμένῳ διὰ τὴν χρόαν μήτε ταῖς περιστεραῖς διὰ τὸ μέγεθος, ἀλλ' οὔτι που τούτου γ' ἕνεκα παροπτέος· ἴσως γάρ τι λέγει θαυμαστόν, ὃ μηδεὶς τῶν ἔμπροσθεν ἔγνω.

Τὸ μὲν οὖν ἅπαντα τὰ τρεφόμενα μόρια ποιεῖν τι περίττωμα συγχωρούμενον, τὸ δὲ τοὺς νεφροὺς μόνους, οὕτω σμικρὰ σώματα, χόας ὅλους τέτταρας ἢ καὶ πλείους ἴσχειν ἐνίοτε περιττώματος οὔθ' ὁμολογούμενον οὔτε λόγον ἔχον· τὸ γὰρ ἑκάστου τῶν μειζόνων σπλάγχνων περίττωμα πλεῖον ἀναγκαῖον ὑπάρχειν. οἷον αὐτίκα τὸ τοῦ πνεύμονος, εἴπερ ἀνάλογον τῷ μεγέθει τοῦ
72 σπλάγχνου γίγνοιτο, πολλαπλά||σιον ἔσται δήπου τοῦ κατὰ τοὺς νεφρούς, ὥσθ' ὅλος μὲν ὁ θώραξ ἐμπλησθήσεται, πνιγήσεται δ' αὐτίκα τὸ ζῷον. ἀλλ' εἰ ἴσον φήσει τις γίγνεσθαι τὸ καθ' ἕκαστον τῶν ἄλλων μορίων περίττωμα, διὰ ποίων κύστεων ἐκκρίνεται; εἰ γὰρ οἱ νεφροὶ τοῖς κωθωνιζομένοις τρεῖς ἢ τέτταρας ἐνίοτε χόας ποιοῦσι περιττώματος, ἑκάστου τῶν ἄλλων σπλάγχνων πολλῷ πλείους ἔσονται καὶ πίθου τινὸς οὕτω μεγίστου δεήσει τοῦ δεξομένου τὰ πάντων περιτ-

[1] "Sur l'Ensemble des Choses" (Daremberg).

these people rapidly pass almost the same quantity as they drink. And that even Erasistratus was aware of this is known to those who have read the first book of his "General Principles." [1] Thus Lycus is speaking neither good Erasistratism, nor good Asclepiadism, far less good Hippocratism. He is, therefore, as the saying is, like a white crow, which cannot mix with the genuine crows owing to its colour, nor with the pigeons owing to its size. For all this, however, he is not to be disregarded; he may, perhaps, be stating some wonderful truth, unknown to any of his predecessors.

Now it is agreed that all parts which are undergoing nutrition produce a certain amount of residue, but it is neither agreed nor is it likely, that the kidneys alone, small bodies as they are, could hold four whole *congii*,[2] and sometimes even more, of residual matter. For this surplus must necessarily be greater in quantity in each of the larger viscera; thus, for example, that of the lung, if it corresponds in amount to the size of the viscus, will obviously be many times more than that in the kidneys, and thus the whole of the thorax will become filled, and the animal will be at once suffocated. But if it be said that the residual matter is equal in amount in each of the other parts, where are the *bladders*, one may ask, through which it is excreted? For, if the kidneys produce in drinkers three and sometimes four *congii* of superfluous matter, that of each of the other viscera will be much more, and thus an enormous barrel will be needed to contain the waste products of them all.

[2] About twelve quarts. This is about five times as much as the average daily excretion, and could only be passed if a very large amount of wine were drunk.

τώματα. καίτοι πολλάκις, ὅσον ἔπιέ τις, ὀλίγου δεῖν οὔρησεν ἅπαν, ὡς ἂν ἐπὶ τοὺς νεφροὺς φερομένου τοῦ πόματος ἅπαντος.

Ἔοικεν οὖν ὁ τὸ τρίτον ἐξαπατῶν οὗτος οὐδὲν ἀνύειν ἀλλ' εὐθὺς γεγονέναι κατάφωρος καὶ μένειν ἔτι τὸ ἐξ ἀρχῆς ἄπορον Ἐρασιστράτῳ τε καὶ τοῖς ἄλλοις ἅπασι πλὴν Ἱπποκράτους. διατρίβω δ' ἑκὼν ἐν τῷ τόπῳ σαφῶς εἰδώς, ὅτι μηδὲν εἰπεῖν ἔχει μηδεὶς ἄλλος περὶ τῆς τῶν νεφρῶν ἐνεργείας, ἀλλ' ἀναγκαῖον ἢ τῶν μαγείρων ἀμαθεστέρους φαίνεσθαι μηδ' ὅτι διηθεῖται δι' αὐτῶν τὸ οὖρον
73 ὁμολογοῦντας ἢ || τοῦτο συγχωρήσαντας μηδὲν ἔτ' ἔχειν εἰπεῖν ἕτερον αἴτιον τῆς διακρίσεως πλὴν τῆς ὁλκῆς.

Ἀλλ' εἰ μὴ τῶν οὔρων ἡ φορὰ τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ γίγνεται, δῆλον, ὡς οὐδ' ἡ τοῦ αἵματος οὐδ' ἡ τῆς χολῆς ἢ εἴπερ ἐκείνων καὶ τούτου· πάντα γὰρ ὡσαύτως ἀναγκαῖον ἐπιτελεῖσθαι καὶ κατ' αὐτὸν τὸν Ἐρασίστρατον.

Εἰρήσεται δ' ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν τῷ μετὰ ταῦτα γράμματι.

Yet one often urinates practically the same quantity as one has drunk, which would show that the whole of what one drinks goes to the kidneys.

Thus the author of this third piece of trickery would appear to have achieved nothing, but to have been at once detected, and there still remains the original difficulty which was insoluble by Erasistratus and by all others except Hippocrates. I dwell purposely on this topic, knowing well that nobody else has anything to say about the function of the kidneys, but that either we must prove more foolish than the very butchers[1] if we do not agree that the urine passes through the kidneys; or, if one acknowledges this, that then one cannot possibly give any other reason for the secretion than the principle of attraction.

Now, if the movement of urine does not depend on the tendency of a vacuum to become refilled,[2] it is clear that neither does that of the blood nor that of the bile; or if that of these latter does so, then so also does that of the former. For they must all be accomplished in one and the same way, even according to Erasistratus himself.

This matter, however, will be discussed more fully in the book following this.

[1] *cf.* p. 51. [2] Horror vacui. Note analogical reasoning; *cf.* p. 289, note 1.

# BOOK II

# B

## I

74 Ὅτι μὲν οὖν ἀναγκαῖόν ἐστιν οὐκ Ἐρασιστράτῳ μόνον ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσοι μέλλουσι περὶ διακρίσεως οὔρων ἐρεῖν τι χρηστόν, ὁμολογῆσαι δύναμίν τιν' ὑπάρχειν τοῖς νεφροῖς ἕλκουσαν εἰς ἑαυτοὺς ποιότητα τοιαύτην, οἵα ἐν τοῖς οὔροις ἐστί, διὰ τοῦ πρόσθεν ἐπιδέδεικται γράμματος, ἀναμιμνησκόντων ἅμ' αὐτῷ καὶ τοῦθ' ἡμῶν, ὡς οὐκ ἄλλως μὲν εἰς τὴν κύστιν φέρεται τὰ οὖρα διὰ τῶν νεφρῶν, ἄλλως δ' εἰς ἅπαντα τοῦ ζῴου τὰ μόρια τὸ αἷμα, κατ' ἄλλον δέ τινα τρόπον ἡ ξανθὴ χολὴ διακρίνεται. δειχ-
75 θείσης γὰρ ἐναργῶς ἐφ' ἑνὸς || οὑτινοσοῦν ὀργάνου τῆς ἑλκτικῆς τε καὶ ἐπισπαστικῆς ὀνομαζομένης δυνάμεως οὐδὲν ἔτι χαλεπὸν ἐπὶ τὰ λοιπὰ μεταφέρειν αὐτήν· οὐ γὰρ δὴ τοῖς μὲν νεφροῖς ἡ φύσις ἔδωκέ τινα τοιαύτην δύναμιν, οὐχὶ δέ γε καὶ τοῖς τὸ χολῶδες ὑγρὸν ἕλκουσιν ἀγγείοις οὐδὲ τούτοις μέν, οὐκέτι δὲ καὶ τῶν ἄλλων μορίων ἑκάστῳ. καὶ μὴν εἰ τοῦτ' ἀληθές ἐστι, θαυμάζειν χρὴ τοῦ Ἐρασιστράτου ψευδεῖς οὕτω λόγους ὑπὲρ ἀνα-

---

[1] *cf.* p. 89. [2] This term is nowadays limited to the drawing action of a blister. *cf.* p. 223.

# BOOK II

## I

In the previous book we demonstrated that not only Erasistratus, but also all others who would say anything to the purpose about urinary secretion, must acknowledge that the kidneys possess some faculty which attracts to them this particular quality existing in the urine.[1] Besides this we drew attention to the fact that the urine is not carried through the kidneys into the bladder by one method, the blood into parts of the animal by another, and the yellow bile separated out on yet another principle. For when once there has been demonstrated in any one organ, the drawing, or so-called *epispastic*[2] faculty, there is then no difficulty in transferring it to the rest. Certainly Nature did not give a power such as this to the kidneys without giving it also to the vessels which abstract the biliary fluid,[3] nor did she give it to the latter without also giving it to each of the other parts. And, assuredly, if this is true, we must marvel that Erasistratus should make statements concerning the delivery of nutriment from the food-canal[4] which are

[3] The radicles of the hepatic ducts in the liver were supposed to be the active agents in extracting bile from the blood. *cf.* pp. 145–149. [4] *Anadosis*; *cf.* p. 13, note 5.

*δόσεως τροφῆς εἰπόντος, ὡς μηδ' Ἀσκληπιάδην λαθεῖν. καίτοι γ' οἴεται παντὸς μᾶλλον ἀληθὲς ὑπάρχειν, ὡς, εἴπερ ἐκ τῶν φλεβῶν ἀπορρέοι τι, δυοῖν θάτερον ἢ κενὸς ἔσται τόπος ἀθρόως ἢ τὸ συνεχὲς ἐπιρρυήσεται τὴν βάσιν ἀναπληροῦν τοῦ κενουμένου. ἀλλ' ὅ γ' Ἀσκληπιάδης οὐ δυοῖν θάτερόν φησιν, ἀλλὰ τριῶν ἕν τι χρῆναι λέγειν ἐπὶ τοῖς κενουμένοις ἀγγείοις ἕπεσθαι ἢ κενὸν ἀθρόως τόπον ἢ τὸ συνεχὲς ἀκολουθήσειν ἢ συσταλήσεσθαι τὸ ἀγγεῖον. ἐπὶ μὲν γὰρ τῶν καλάμων καὶ τῶν αὐλίσκων τῶν εἰς τὸ ὕδωρ καθιεμένων ἀληθὲς εἰπεῖν, ὅτι κενουμένου τοῦ*
76 *περιεχομένου κατὰ τὴν || εὐρυχωρίαν αὐτῶν ἀέρος ἢ κενὸς ἀθρόως ἔσται τόπος ἢ ἀκολουθήσει τὸ συνεχές· ἐπὶ δὲ τῶν φλεβῶν οὐκέτ' ἐγχωρεῖ, δυναμένου δὴ τοῦ χιτῶνος αὐτῶν εἰς ἑαυτὸν συνιζάνειν καὶ διὰ τοῦτο καταπίπτειν εἰς τὴν ἐντὸς εὐρυχωρίαν. οὕτω μὲν δὴ ψευδὴς ἡ περὶ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας οὐκ ἀπόδειξις μὰ Δί' εἴποιμ' ἂν ἀλλ' ὑπόθεσις Ἐρασιστράτειος.*

*Καθ' ἕτερον δ' αὖ τρόπον, εἰ καὶ ἀληθὴς εἴη, περιττή, τῆς μὲν κοιλίας ἐνθλίβειν ταῖς φλεψὶ δυναμένης, ὡς αὐτὸς ὑπέθετο, τῶν φλεβῶν δ' αὖ περιστέλλεσθαι τῷ ἐνυπάρχοντι καὶ προωθεῖν αὐτό. τά τε γὰρ ἄλλα καὶ πλῆθος οὐκ ἂν ἐν τῷ σώματι γένοιτο, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ μόνῃ τῆς ἀναδόσεως ἐπιτελουμένης. εἰ μὲν οὖν ἡ τῆς γαστρὸς ἔνθλιψις ἐκλύεται προϊοῦσα καὶ*

---

[1] The term *κοιλία* is used both specifically for the stomach proper and also (as probably here) in a somewhat wider sense for the stomach *region*, including the adjacent part of the small intestine; this was the part of the alimentary canal

so false as to be detected even by Asclepiades. Now, Erasistratus considers it absolutely certain that, if anything flows from the veins, one of two things must happen: either a completely empty space will result, or the contiguous quantum of fluid will run in and take the place of that which has been evacuated. Asclepiades, however, holds that not one of two, but one of three things must be said to result in the emptied vessels: either there will be an entirely empty space, or the contiguous portion will flow in, or the vessel will contract. For whereas, in the case of reeds and tubes it is true to say that, if these be submerged in water, and are emptied of the air which they contain in their lumens, then either a completely empty space will be left, or the contiguous portion will move onwards; in the case of veins this no longer holds, since their coats can collapse and so fall in upon the interior cavity. It may be seen, then, how false this hypothesis—by Zeus, I cannot call it a demonstration!—of Erasistratus is.

And, from another point of view, even if it were true, it is superfluous, if the stomach[1] has the power of compressing the veins, as he himself supposed, and the veins again of contracting upon their contents and propelling them forwards.[2] For, apart from other considerations, no *plethora*[3] would ever take place in the body, if delivery of nutriment resulted merely from the tendency of a vacuum to become refilled. Now, if the compression of the stomach becomes weaker the further it goes, and cannot reach to an

from which nutriment was believed to be absorbed by the mesenteric veins; *cf.* p. 309, note 2.

[2] *cf.* p. 100, note 2; p. 167, note 2.

[3] A characteristic "lesion" in Erasistratus's pathology.

*μέχρι παντὸς ἀδυνατός ἐστιν ἐξικνεῖσθαι καὶ διὰ τοῦτ' ἄλλης τινὸς δεῖ μηχανῆς εἰς τὴν πάντη φορὰν τοῦ αἵματος, ἀναγκαία μὲν ἡ πρὸς τὸ κενούμενον ἀκολουθία προσεξεύρηται· πλῆθος δ'*
77 *ἐν οὐδενὶ τῶν μεθ' ἧπαρ ἔσται* || *μορίων, ἤ, εἴπερ ἄρα, περὶ τὴν καρδίαν τε καὶ τὸν πνεύμονα. μόνη γὰρ αὕτη τῶν μεθ' ἧπαρ εἰς τὴν δεξιὰν αὐτῆς κοιλίαν ἕλκει τὴν τροφήν, εἶτα διὰ τῆς φλεβὸς τῆς ἀρτηριώδους ἐκπέμπει τῷ πνεύμονι· τῶν γὰρ ἄλλων οὐδὲν οὐδ' αὐτὸς ὁ Ἐρασίστρατος ἐκ καρδίας βούλεται τρέφεσθαι διὰ τὴν τῶν ὑμένων ἐπίφυσιν. εἰ δέ γ', ἵνα πλῆθος γένηται, φυλάξομεν ἄχρι παντὸς τὴν ῥώμην τῆς κατὰ τὴν κοιλίαν ἐνθλίψεως, οὐδὲν ἔτι δεόμεθα τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας, μάλιστ' εἰ καὶ τὴν τῶν φλεβῶν συνυποθοίμεθα περιστολήν, ὡς αὖ καὶ τοῦτ' αὐτῷ πάλιν ἀρέσκει τῷ Ἐρασιστράτῳ.*

## II

*Ἀναμνηστέον οὖν αὖθις αὐτόν, κἂν μὴ βούληται, τῶν νεφρῶν καὶ λεκτέον, ὡς ἔλεγχος οὗτοι φανερώτατος ἁπάντων τῶν ἀποχωρούντων τῆς ὁλκῆς· οὐδεὶς γὰρ οὐδὲν οὔτ' εἶπε πιθανόν, ἀλλ' οὐδ' ἐξευρεῖν εἶχε κατ' οὐδένα τρόπον, ὡς*

---

[1] A certain subordinate place allowed to the horror vacui.

[2] *i.e.* the parts to which the veins convey blood after it leaves the liver—second stage of *anadosis*; *cf.* p. 91, note 2; p. 13, note 5.

indefinite distance, and if, therefore, there is need of some other mechanism to explain why the blood is conveyed in all directions, then the principle of the refilling of a vacuum may be looked on as a necessary addition;[1] there will not, however, be a plethora in any of the parts coming after the liver,[2] or, if there be, it will be in the region of the heart and lungs; for the heart alone of the parts which come after the liver draws the nutriment into its right ventricle, thereafter sending it through the *arterioid vein*[3] to the lungs (for Erasistratus himself will have it that, owing to the membranous excrescences,[4] no other parts save the lungs receive nourishment from the heart). If, however, in order to explain how plethora comes about, we suppose the force of compression by the stomach to persist indefinitely, we have no further need of the principle of the refilling of a vacuum, especially if we assume contraction of the veins in addition—as is, again, agreeable to Erasistratus himself.

## II

LET me draw his attention, then, once again, even if he does not wish it, to the kidneys, and let me state that these confute in the very clearest manner such people as object to the principle of *attraction*. Nobody has ever said anything plausible, nor, as we previously showed, has anyone been able to discover,

[3] What we now call the pulmonary artery. Galen believed that the right ventricle existed for the purpose of sending nutrient blood to the lungs.

[4] Lit. owing to the ongrowth (*epiphysis*) of membranes; he means the tricuspid valve; *cf.* p. 314, note 2; p. 321, note 4.

ἔμπροσθεν ἐδείκνυμεν, ἕτερον αἴτιον οὔρων διακρίσεως, ἀλλ' ἀναγκαῖον ἢ μαίνεσθαι δοκεῖν, εἰ
78 φήσαιμεν ἀτμοει||δῶς εἰς τὴν κύστιν ἰέναι τὸ οὖρον ἢ ἀσχημονεῖν τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας μνημονεύοντας, ληρώδους μὲν οὔσης κἀπὶ τοῦ αἵματος, ἀδυνάτου δὲ καὶ ἠλιθίου παντάπασιν ἐπὶ τῶν οὔρων.

Ἓν μὲν δὴ τοῦτο σφάλμα τῶν ἀποστάντων τῆς ὁλκῆς· ἕτερον δὲ τὸ περὶ τῆς κατὰ τὴν ξανθὴν χολὴν διακρίσεως. οὐδὲ γὰρ οὐδ' ἐκεῖ παραρρέοντος τοῦ αἵματος τὰ στόματα τῶν χοληδόχων ἀγγείων ἀκριβῶς διακριθήσεται τὸ χολῶδες περίττωμα. καὶ μὴ διακρινέσθω, φασίν, ἀλλὰ συναναφερέσθω τῷ αἵματι πάντῃ τοῦ σώματος. ἀλλ', ὦ σοφώτατοι, προνοητικὴν τοῦ ζῴου καὶ τεχνικὴν αὐτὸς ὁ Ἐρασίστρατος ὑπέθετο τὴν φυσιν. ἀλλὰ καὶ τὸ χολῶδες ὑγρὸν ἄχρηστον εἶναι πανταπάσι τοῖς ζῴοις ἔφασκεν. οὐ συμβαίνει δ' ἀλλήλοις ἄμφω ταῦτα. πῶς γὰρ ἂν ἔτι προνοεῖσθαι τοῦ ζῴου δόξειεν ἐπιτρέπουσα συναναφέρεσθαι τῷ αἵματι μοχθηρὸν οὕτω χυμόν;

Ἀλλὰ ταῦτα μὲν σμικρά· τὸ δὲ μέγιστον καὶ σαφέστατον πάλιν ἐνταῦθ' ἁμάρτημα καὶ δὴ φράσω. εἴπερ γὰρ δι' οὐδὲν ἄλλ' ἢ ὅτι παχύτερον
79 μέν ἐστι τὸ αἷμα, λεπτοτέρα δ' ἡ || ξανθὴ χολὴ καὶ τὰ μὲν τῶν φλεβῶν εὐρύτερα στόματα, τὰ

by any means, any other cause for the secretion of urine; we necessarily appear mad if we maintain that the urine passes into the kidneys in the form of vapour, and we certainly cut a poor figure when we talk about the tendency of a vacuum to become refilled;[1] this idea is foolish in the case of blood, and impossible, nay, perfectly nonsensical, in the case of the urine.[2]

This, then, is one blunder made by those who dissociate themselves from the principle of attraction. Another is that which they make about the *secretion of yellow bile.* For in this case, too, it is not a fact that when the blood runs past the mouths [stomata] of the bile-ducts there will be a thorough separation out [secretion] of biliary waste-matter. "Well," say they, "let us suppose that it is not secreted but carried with the blood all over the body." But, you sapient folk, Erasistratus himself supposed that Nature took thought for the animals' future, and was workmanlike in her method; and at the same time he maintained that the biliary fluid was useless in every way for the animals. Now these two things are incompatible. For how could Nature be still looked on as exercising forethought for the animal when she allowed a noxious humour such as this to be carried off and distributed with the blood? . . .

This, however, is a small matter. I shall again point out here the greatest and most obvious error. For if the yellow bile adjusts itself to the narrower vessels and stomata, and the blood to the wider ones, for no other reason than that blood is thicker and bile thinner, and that the stomata of the veins are

[1] Horror vacui. [2] But Erasistratus had never upheld this in the case of urinary secretion. *cf.* p. 99.

*δὲ τῶν χοληδόχων ἀγγείων στενότερα, διὰ τοῦθ' ἡ μὲν χολὴ τοῖς στενοτέροις ἀγγείοις τε καὶ στόμασιν ἐναρμόττει, τὸ δ' αἷμα τοῖς εὐρυτέροις, δῆλον, ὡς καὶ τὸ ὑδατῶδες τοῦτο καὶ ὀρρῶδες περίττωμα τοσούτῳ πρότερον εἰσρυήσεται τοῖς χοληδόχοις ἀγγείοις, ὅσῳ λεπτότερόν ἐστι τῆς χολῆς. πῶς οὖν οὐκ εἰσρεῖ; ὅτι παχύτερόν ἐστι νὴ Δία τὸ οὖρον τῆς χολῆς· τοῦτο γὰρ ἐτόλμησέ τις εἰπεῖν τῶν καθ' ἡμᾶς Ἐρασιστρατείων ἀποστὰς δηλονότι τῶν αἰσθήσεων, αἷς ἐπίστευσεν ἐπί τε τῆς χολῆς καὶ τοῦ αἵματος. εἴτε γὰρ ὅτι μᾶλλον ἡ χολὴ τοῦ αἵματος ῥεῖ, διὰ τοῦτο λεπτοτέραν αὐτὴν ἡμῖν ἐστι νομιστέον, εἴθ' ὅτι δι' ὀθόνης ἢ ῥάκους ἤ τινος ἠθμοῦ ῥᾷον διεξέρχεται καὶ ταύτης τὸ ὀρρῶδες περίττωμα, κατὰ ταῦτα τὰ γνωρίσματα παχυτέρα τῆς ὑδατώδους ὑγρότητος καὶ αὕτη γενήσεται. πάλιν γὰρ οὐδ' ἐνταῦθα λόγος οὐδείς ἐστιν, ὃς ἀποδείξει λεπτοτέραν τὴν χολὴν τῶν ὀρρωδῶν περιττωμάτων.*

*Ἀλλ' ὅταν τις ἀναισχυντῇ περιπλέκων τε καὶ*
80 *μήπω καταπεπτωκέναι συγχωρῶν, ‖ ὅμοιος ἔσται τοῖς ἰδιώταις τῶν παλαιστῶν, οἳ καταβληθέντες ὑπὸ τῶν παλαιστρικῶν καὶ κατὰ τῆς γῆς ὕπτιοι κείμενοι τοσούτου δέουσι τὸ πτῶμα γνωρίζειν, ὥστε καὶ κρατοῦσι τῶν αὐχένων αὐτοὺς τοὺς καταβαλόντας οὐκ ἐῶντες ἀπαλλάττεσθαι, κἂν τούτῳ νικᾶν ὑπολαμβάνουσι.*

[1] This was the characteristically "anatomical" explanation of bile-secretion made by Erasistratus. *cf.* p. 170, note 2.

wider and those of the bile-ducts narrower,[1] then it is clear that this watery and serous superfluity,[2] too, will run out into the bile-ducts quicker than does the bile, exactly in proportion as it is thinner than the bile! How is it, then, that it does not run out? "Because," it may be said, "urine is thicker than bile!" This was what one of our Erasistrateans ventured to say, herein clearly disregarding the evidence of his senses, although he had trusted these in the case of the bile and blood. For, if it be that we are to look on bile as thinner than blood because it runs more, then, since the serous residue [2] passes through fine linen or lint or a sieve more easily even than does bile, by these tokens bile must also be thicker than the watery fluid. For here, again, there is no argument which will demonstrate that bile is thinner than the serous superfluities.

But when a man shamelessly goes on using circumlocutions, and never acknowledges when he has had a fall, he is like the amateur wrestlers, who, when they have been overthrown by the experts and are lying on their backs on the ground, so far from recognizing their fall, actually seize their victorious adversaries by the necks and prevent them from getting away, thus supposing themselves to be the winners!

[1] Why, then, says Galen, does not urine, rather than bile, enter the bile-ducts? [2] Urine, or, more exactly, blood-serum.

## III

Λῆρος οὖν μακρὸς ἅπασα πόρων ὑπόθεσις εἰς φυσικὴν ἐνέργειαν. εἰ μὴ γὰρ δύναμίς τις σύμφυτος ἑκάστῳ τῶν ὀργάνων ὑπὸ τῆς φύσεως εὐθὺς ἐξ ἀρχῆς δοθείη, διαρκεῖν οὐ δυνήσεται τὰ ζῷα, μὴ ὅτι τοσοῦτον ἀριθμὸν ἐτῶν ἀλλ' οὐδ' ἡμερῶν ὀλιγίστων· ἀνεπιτρόπευτα γὰρ ἐάσαντες αὐτὰ καὶ τέχνης καὶ προνοίας ἔρημα μόναις ταῖς τῶν ὑλῶν οἰακιζόμενα ῥοπαῖς, οὐδαμοῦ δυνάμεως οὐδεμιᾶς τῆς μὲν ἑλκούσης τὸ προσῆκον ἑαυτῇ, τῆς δ' ἀπωθούσης τὸ ἀλλότριον, τῆς δ' ἀλλοιούσης τε καὶ προσφυούσης τὸ θρέψον, οὐκ οἶδ' ὅπως οὐκ ἂν εἴημεν καταγέλαστοι περί τε τῶν φυσικῶν ἐνεργειῶν διαλεγόμενοι καὶ πολὺ μᾶλλον ἔτι περὶ
81 τῶν ψυχικῶν καὶ || συμπάσης γε τῆς ζωῆς.

Οὐδὲ γὰρ ζῆν οὐδὲ διαμένειν οὐδενὶ τῶν ζῴων οὐδ' εἰς ἐλάχιστον χρόνον ἔσται δυνατόν, εἰ τοσαῦτα κεκτημένον ἐν ἑαυτῷ μόρια καὶ οὕτω διαφέροντα μήθ' ἑλκτικῇ τῶν οἰκείων χρήσεται δυνάμει μήτ' ἀποκριτικῇ τῶν ἀλλοτρίων μήτ' ἀλλοιωτικῇ τῶν θρεψόντων. καὶ μὴν εἰ ταύτας ἔχοιμεν, οὐδὲν ἔτι πόρων μικρῶν ἢ μεγάλων ἐξ ὑποθέσεως ἀναποδείκτου λαμβανομένων εἰς οὔρου καὶ χολῆς διάκρισιν δεόμεθα καί τινος ἐπικαίρου θέσεως, ἐν ᾧ μόνῳ σωφρονεῖν ἔοικεν ὁ Ἐρασίστρατος ἅπαντα καλῶς τεθῆναί τε καὶ διαπλασ-

---

[1] Or ducts, canals, conduits, *i.e. morphological* factors.

[2] Or artistic skill, "artistry." *cf.* Book I., chap. xii.

[3] "Only"; *cf.* Introd., p. xxviii.

[4] Note how Galen, although he has not yet clearly differ-

## III

THUS, every hypothesis of *channels*[1] as an explanation of natural functioning is perfect nonsense. For, if there were not *an inborn faculty* given by Nature to each one of the organs at the very beginning, then animals could not continue to live even for a few days, far less for the number of years which they actually do. For let us suppose they were under no guardianship, lacking in creative ingenuity[2] and forethought; let us suppose they were steered only by material forces,[3] and not by any special *faculties* (the one attracting what is proper to it, another rejecting what is foreign, and yet another causing alteration and adhesion of the matter destined to nourish it); if we suppose this, I am sure it would be ridiculous for us to discuss natural, or, still more, psychical, activities—or, in fact, life as a whole.[4]

For there is not a single animal which could live or endure for the shortest time if, possessing within itself so many different parts, it did not employ faculties which were attractive of what is appropriate, eliminative of what is foreign, and alterative of what is destined for nutrition. On the other hand, if we have these faculties, we no longer need *channels*, little or big, resting on an unproven hypothesis, for explaining the secretion of urine and bile, and the conception of some *favourable situation* (in which point alone Erasistratus shows some common sense, since he does regard all the parts of the body as

entiated physiological from physical processes (both are "natural") yet separates them definitely from the psychical. *cf.* p. 2, footnote. A *psychical* function or activity is, in Latin, *actio animalis* (from *anima* = *psyche*).

θῆναι τὰ μόρια τοῦ σώματος ὑπὸ τῆς φύσεως οἰόμενος.

Ἀλλ' εἰ παρακολουθήσειεν ἑαυτῷ φύσιν ὀνομάζοντι τεχνικήν, εὐθὺς μὲν ἐξ ἀρχῆς ἅπαντα καλῶς διαπλάσασάν τε καὶ διαθεῖσαν τοῦ ζῴου τὰ μόρια, μετὰ δὲ τὴν τοιαύτην ἐνέργειαν, ὡς οὐδὲν ἔλειπεν, ἔτι προαγαγοῦσαν εἰς φῶς αὐτὸ σύν τισι δυνάμεσιν, ὧν ἄνευ ζῆν οὐκ ἠδύνατο, καὶ μετὰ ταῦτα κατὰ βραχὺ προσαυξήσασαν ἄχρι τοῦ πρέποντος μεγέθους, οὐκ οἶδα πῶς ὑπομένει
82 πόρων σμικρότησιν || ἢ μεγέθεσιν ἤ τισιν ἄλλαις οὕτω ληρώδεσιν ὑποθέσεσι φυσικὰς ἐνεργείας ἐπιτρέπειν. ἡ γὰρ διαπλάττουσα τὰ μόρια φύσις ἐκείνη καὶ κατὰ βραχὺ προσαύξουσα πάντως δήπου δι' ὅλων αὐτῶν ἐκτέταται· καὶ γὰρ ὅλα δι' ὅλων οὐκ ἔξωθεν μόνον αὐτὰ διαπλάττει τε καὶ τρέφει καὶ προσαύξει. Πραξιτέλης μὲν γὰρ ἢ Φειδίας ἤ τις ἄλλος ἀγαλματοποιὸς ἔξωθεν μόνον ἐκόσμουν τὰς ὕλας, καθὰ καὶ ψαύειν αὐτῶν ἠδύναντο, τὸ βάθος δ' ἀκόσμητον καὶ ἀργὸν καὶ ἄτεχνον καὶ ἀπρονόητον ἀπέλιπον, ὡς ἂν μὴ δυνάμενοι κατελθεῖν εἰς αὐτὸ καὶ καταδῦναι καὶ θιγεῖν ἁπάντων τῆς ὕλης τῶν μερῶν. ἡ φύσις δ' οὐχ οὕτως, ἀλλὰ τὸ μὲν ὀστοῦ μέρος ἅπαν ὀστοῦν ἀποτελεῖ, τὸ δὲ σαρκὸς σάρκα, τὸ δὲ πιμελῆς πιμελὴν καὶ τῶν ἄλλων ἕκαστον· οὐδὲν γάρ ἐστιν ἄψαυστον αὐτῇ μέρος οὐδ' ἀνεξέργαστον οὐδ' ἀκόσμητον. ἀλλὰ τὸν μὲν κηρὸν ὁ Φειδίας οὐκ ἠδύνατο ποιεῖν ἐλέφαντα καὶ χρυσόν, ἀλλ' οὐδὲ τὸν χρυσὸν κηρόν· ἕκαστον γὰρ αὐτῶν μένον, οἷον ἦν ἐξ ἀρχῆς, ἔξωθεν μόνον ἠμφιεσμένον εἶδός τι

having been well and truly placed and shaped by Nature).

But let us suppose he remained true to his own statement that Nature is "artistic"—this Nature which, at the beginning, well and truly shaped and disposed all the parts of the animal,[1] and, after carrying out this function (for she left nothing undone), brought it forward to the light of day, endowed with certain faculties necessary for its very existence, and, thereafter, gradually increased it until it reached its due size. If he argued consistently on this principle, I fail to see how he can continue to refer natural functions to the smallness or largeness of canals, or to any other similarly absurd hypothesis. For this Nature which shapes and gradually adds to the parts is most certainly extended throughout their whole substance. Yes indeed, she shapes and nourishes and increases them through and through, not on the outside only. For Praxiteles and Phidias and all the other statuaries used merely to decorate their material on the outside, in so far as they were able to touch it; but its inner parts they left unembellished, unwrought, unaffected by art or forethought, since they were unable to penetrate therein and to reach and handle all portions of the material. It is not so, however, with Nature. Every part of a bone she makes bone, every part of the flesh she makes flesh, and so with fat and all the rest; there is no part which she has not touched, elaborated, and embellished. Phidias, on the other hand, could not turn wax into ivory and gold, nor yet gold into wax: for each of these remains as it was at the commencement, and becomes a perfect statue

[1] The stage of organogenesis or *diaplasis*; *cf.* p. 25, note 4.

83 καὶ σχῆμα τεχνικόν, ἄγαλμα τέλειον || γέγονεν. ἡ φύσις δ' οὐδεμιᾶς ἔτι φυλάττει τῶν ὑλῶν τὴν ἀρχαίαν ἰδέαν· αἷμα γὰρ ἂν ἦν οὕτως ἅπαντα τοῦ ζῴου τὰ μόρια, τὸ παρὰ τῆς κυούσης ἐπιρρέον τῷ σπέρματι, δίκην κηροῦ τινος ὕλη μία καὶ μονοειδὴς ὑποβεβλημένη τῷ τεχνίτῃ. γίγνεται δ' ἐξ αὐτῆς οὐδὲν τῶν τοῦ ζῴου μορίων οὔτ' ἐρυθρὸν οὕτως οὔθ' ὑγρόν. ὀστοῦν γὰρ καὶ ἀρτηρία καὶ φλὲψ καὶ νεῦρον καὶ χόνδρος καὶ πιμελὴ καὶ ἀδὴν καὶ ὑμὴν καὶ μυελὸς ἄναιμα μέν, ἐξ αἵματος δὲ γέγονε.

Τίνος ἀλλοιώσαντος καὶ τίνος πήξαντος καὶ τίνος διαπλάσαντος ἐδεόμην ἄν μοι τὸν Ἐρασίστρατον αὐτὸν ἀποκρίνασθαι. πάντως γὰρ ἂν εἶπεν ἤτοι τὴν φύσιν ἢ τὸ σπέρμα, ταὐτὸν μὲν λέγων καθ' ἑκάτερον, διαφόροις δ' ἐπινοίαις ἑρμηνεύων· ὃ γὰρ ἦν πρότερον σπέρμα, τοῦθ', ὅταν ἄρξηται φύειν τε καὶ διαπλάττειν τὸ ζῷον, φύσις τις γίγνεται. καθάπερ γὰρ ὁ Φειδίας εἶχε μὲν τὰς δυνάμεις τῆς τέχνης καὶ πρὶν ψαύειν τῆς ὕλης, ἐνήργει δ' αὐταῖς περὶ τὴν ὕλην—ἅπασα γὰρ δύναμις ἀργεῖ ἀποροῦσα τῆς οἰκείας ὕλης—, οὕτω
84 καὶ τὸ σπέρμα τὰς μὲν || δυνάμεις οἴκοθεν ἐκέκτητο, τὰς δ' ἐνεργείας οὐκ ἐκ τῆς ὕλης ἔλαβεν, ἀλλὰ περὶ τὴν ὕλην ἐπεδείξατο.

Καὶ μὴν εἰ πολλῷ μὲν ἐπικλύζοιτο τῷ αἵματι τὸ σπέρμα, διαφθείροιτ' ἄν· εἰ δ' ὅλως ἀποροίη

---

[1] The spermatozoon now becomes an "organism" proper.

[2] Galen attributed to the *sperma* or semen what we should

simply by being clothed externally in a form and artificial shape. But Nature does not preserve the original character of any kind of matter; if she did so, then all parts of the animal would be blood—that blood, namely, which flows to the semen from the impregnated female and which is, so to speak, like the statuary's wax, a single uniform matter, subjected to the artificer. From this blood there arises no part of the animal which is as red and moist [as blood is], for bone, artery, vein, nerve, cartilage, fat, gland, membrane, and marrow are not blood, though they arise from it.

I would then ask Erasistratus himself to inform me what the altering, coagulating, and shaping agent is. He would doubtless say, "Either Nature or the semen," meaning the same thing in both cases, but explaining it by different devices. For that which was previously semen, when it begins to procreate and to shape the animal, becomes, so to say, a special *nature*.[1] For in the same way that Phidias possessed the faculties of his art even before touching his material, and then activated these in connection with this material (for every faculty remains inoperative in the absence of its proper material), so it is with the semen: its faculties it possessed from the beginning,[2] while its activities it does not receive from its material, but it manifests them in connection therewith.

And, of course, if it were to be overwhelmed with a great quantity of blood, it would perish, while if it were to be entirely deprived of blood

to the fertilized ovum: to him the maternal contribution is purely passive—mere food for the sperm. The epoch-making Ovum Theory was not developed till the seventeenth century; *cf.* p. 19, note 3.

παντάπασιν ἀργοῦν, οὐκ ἂν γένοιτο φύσις. ἵν' οὖν μήτε φθείρηται καὶ γίγνηται φύσις ἀντὶ σπέρματος, ὀλίγον ἐπιρρεῖν ἀναγκαῖον αὐτῷ τοῦ αἵματος, μᾶλλον δ' οὐκ ὀλίγον λέγειν χρή, ἀλλὰ σύμμετρον τῷ πλήθει τοῦ σπέρματος. τίς οὖν ὁ μετρῶν αὐτοῦ τὸ ποσὸν τῆς ἐπιρροῆς; τίς ὁ κωλύων ἰέναι πλέον; τίς ὁ προτρέπων, ἵν' ἐνδεέστερον μὴ ἴῃ; τίνα ζητήσομεν ἐνταῦθα τρίτον ἐπιστάτην τοῦ ζῴου τῆς γενέσεως, ὃς χορηγήσει τῷ σπέρματι τὸ σύμμετρον αἷμα; τί ἂν εἶπεν Ἐρασίστρατος, εἰ ζῶν ταῦτ' ἠρωτήθη; τὸ σπέρμα αὐτὸ δηλονότι· τοῦτο γάρ ἐστιν ὁ τεχνίτης ὁ ἀναλογῶν τῷ Φειδίᾳ, τὸ δ' αἷμα τῷ κηρῷ προσέοικεν.

Οὔκουν πρέπει τὸν κηρὸν αὐτὸν ἑαυτῷ τὸ μέτρον ἐξευρίσκειν, ἀλλὰ τὸν Φειδίαν. ἕλξει δὴ τοσοῦτον αἵματος ὁ τεχνίτης εἰς ἑαυτόν, ὁπόσου
85 δεῖται. ἀλλ' ἐν||ταῦθα χρὴ προσέχειν ἤδη τὸν νοῦν καὶ σκοπεῖν, μή πως λάθωμεν τῷ σπέρματι λογισμόν τινα καὶ νοῦν χαρισάμενοι· οὕτω γὰρ ἂν οὔτε σπέρμα ποιήσαιμεν οὔτε φύσιν ἀλλ' ἤδη ζῷον αὐτό. καὶ μὴν εἰ φυλάξομεν ἀμφότερα, τήν θ' ὁλκὴν τοῦ συμμέτρου καὶ τὸ χωρὶς λογισμοῦ, δύναμίν τινα, καθάπερ ἡ λίθος ἑλκτικὴν εἶχε τοῦ σιδήρου, καὶ τῷ σπέρματι φήσομεν ὑπάρχειν αἵματος ἐπισπαστικήν. ἠναγκάσθημεν οὖν πάλιν κἀνταῦθα, καθάπερ ἤδη πολλάκις ἔμπροσθεν, ἑλκτικήν τινα δύναμιν ὁμολογῆσαι κατὰ τὸ σπέρμα.

---

[1] *i.e.* we should be talking psychology, not biology; *cf.* stomach, p. 307, note 3.

[2] Attraction now described not merely as *qualitative* but also as *quantitative*. *cf.* p. 85, note 3.

it would remain inoperative and would not turn into a *nature*. Therefore, in order that it may not perish, but may become a *nature* in place of semen, there must be an afflux to it of a little blood—or, rather, one should not say a little, but a quantity commensurate with that of the semen. What is it then that measures the quantity of this afflux? What prevents more from coming? What ensures against a deficiency? What is this third overseer of animal generation that we are to look for, which will furnish the semen with a due amount of blood? What would Erasistratus have said if he had been alive, and had been asked this question? Obviously, the semen itself. This, in fact, is the artificer analogous with Phidias, whilst the blood corresponds to the statuary's wax.

Now, it is not for the wax to discover for itself how much of it is required; that is the business of Phidias. Accordingly the artificer will draw to itself as much blood as it needs. Here, however, we must pay attention and take care not unwittingly to credit the semen with reason and intelligence; if we were to do this, we would be making neither semen nor a nature, but an actual living animal.[1] And if we retain these two principles—that of proportionate attraction[2] and that of the non-participation of intelligence—we shall ascribe to the semen a faculty for attracting blood similar to that possessed by the lodestone for iron.[3] Here, then, again, in the case of the semen, as in so many previous instances, we have been compelled to acknowledge some kind of attractive faculty.

[3] He still tends either to biologize physics, or to physicize biology—whichever way we prefer to look at it. *cf.* Book I., chap. xiv.

Τί δ' ἦν τὸ σπέρμα; ἡ ἀρχὴ τοῦ ζῴου δηλονότι ἡ δραστική· ἡ γὰρ ὑλικὴ τὸ καταμήνιόν ἐστιν. εἶτ' αὐτῆς τῆς ἀρχῆς πρώτῃ ταύτῃ τῇ δυνάμει χρωμένης, ἵνα γένηται τῶν ὑπ' αὐτῆς τι δεδημιουργημένων, ἄμοιρον εἶναι τῆς οἰκείας δυνάμεως οὐκ νδέχεται. πῶς οὖν Ἐρασίστρατος αὐτὴν οὐκ οἶδεν, εἰ δὴ πρώτη μὲν αὕτη τοῦ σπέρματος ἐνέργ ια τὸ σύμμετρον αἵματος ἐπισπᾶσθαι πρὸς ἑαυτό; σύμμετρον δ' ἂν εἴη τὸ λεπτὸν οὕτω καὶ ἀτμῶδες, ὥστ' εὐθὺς εἰς πᾶν μόριον ἑλκόμενον τοῦ
86 σπέρματος δροσοειδῶς μηδαμοῦ τὴν || ἑαυτοῦ παρεμφαίνειν ἰδέαν. οὕτω γὰρ αὐτοῦ καὶ κρατήσει ῥᾳδίως τὸ σπέρμα καὶ ταχέως ἐξομοιώσει καὶ τροφὴν ἑαυτῷ ποιήσεται κἄπειτ' οἶμαι δεύτερον ἐπισπάσεται καὶ τρίτον, ὡς ὄγκον ἑαυτῷ καὶ πλῆθος ἀξιόλογον ἐργάσασθαι τραφέντι. καὶ μὴν ἤδη καὶ ἡ ἀλλοιωτικὴ δύναμις ἐξεύρηται μηδ' αὐτὴ πρὸς Ἐρασιστράτου γεγραμμένη. τρίτη δ' ἂν ἡ διαπλαστικὴ φανείη, καθ' ἣν πρῶτον μὲν οἷον ἐπίπαγόν τινα λεπτὸν ὑμένα περιτίθησιν ἑαυτῷ τὸ σπέρμα, τὸν ὑφ' Ἱπποκράτους ἐπὶ τῆς ἑκταίας γονῆς, ἣν ἐκπεσεῖν ἔλεγε τῆς μουσουργοῦ, τῷ τῶν ᾠῶν εἰκασθέντα χιτῶνι· μετὰ δὲ τοῦτον ἤδη καὶ τἆλλ', ὅσα πρὸς ἐκείνου λέγεται διὰ τοῦ περὶ φύσιος παιδίου συγγράμματος.

Ἀλλ' εἰ τῶν διαπλασθέντων ἕκαστον οὕτω μείνειε σμικρόν, ὡς ἐξ ἀρχῆς ἐγένετο, τί ἂν εἴη πλέον; αὐξάνεσθαι τοίνυν αὐτὰ χρή. πῶς οὖν

---

[1] Aristotelian and Stoic duality of an active and a passive principle.

[2] Note that early embryonic development is described as a process of *nutrition*. *cf*. p. 130, note 2.

And what is the semen? Clearly the active principle of the animal, the material principle being the menstrual blood.[1] Next, seeing that the active principle employs this faculty primarily, therefore, in order that any one of the things fashioned by it may come into existence, it [the principle] must necessarily be possessed of its own faculty. How, then, was Erasistratus unaware of it, if the primary function of the semen be to draw to itself a due proportion of blood? Now, this fluid would be in due proportion if it were so thin and vaporous, that, as soon as it was drawn like dew into every part of the semen, it would everywhere cease to display its own particular character; for so the semen will easily dominate and quickly assimilate it—in fact, will use it as food. It will then, I imagine, draw to itself a second and a third quantum, and thus by feeding it acquires for itself considerable bulk and quantity.[2] In fact, *the alterative faculty* has now been discovered as well, although about this also Erasistratus has not written a word. And, thirdly the *shaping*[3] faculty will become evident, by virtue of which the semen firstly surrounds itself with a thin membrane like a kind of superficial condensation; this is what was described by Hippocrates in the sixth-day birth, which, according to his statement, fell from the singing-girl and resembled the pellicle of an egg. And following this all the other stages will occur, such as are described by him in his work "On the Child's Nature."

But if each of the parts formed were to remain as small as when it first came into existence, of what use would that be? They have, then, to grow.

[3] On the *alterative* and *shaping* faculties *cf.* p. 18, note 1.

αὐξηθήσεται; πάντῃ διατεινόμενα θ' ἅμα καὶ τρεφόμενα. καί μοι τῶν ἔμπροσθεν εἰρημένων ἐπὶ τῆς κύστεως, ἣν οἱ παῖδες ἐμφυσῶντες ἔτρι-
87 βον, ἀναμνησθεὶς μαθήσῃ μᾶλλον ‖ κἀκ τῶν νῦν ῥηθησομένων.

Ἐννόησον γὰρ δὴ τὴν καρδίαν οὕτω μὲν μικρὰν εἶναι κατ' ἀρχάς, ὡς κέγχρου μηδὲν διαφέρειν ἤ, εἰ βούλει, κυάμου, καὶ ζήτησον, ὅπως ἂν ἄλλως αὕτη γένοιτο μεγάλη χωρὶς τοῦ πάντῃ διατεινομένην τρέφεσθαι δι' ὅλης ἑαυτῆς, ὡς ὀλίγῳ πρόσθεν ἐδείκνυτο τὸ σπέρμα τρεφόμενον. ἀλλ' οὐδὲ τοῦτ' Ἐρασίστρατος οἶδεν ὁ τὴν τέχνην τῆς φύσεως ὑμνῶν, ἀλλ' οὕτως αὐξάνεσθαι τὰ ζῷα νομίζει καθάπερ τινὰ κρησέραν ἢ σειρὰν ἢ σάκκον ἢ τάλαρον, ὧν ἑκάστῳ κατὰ τὸ πέρας ἐπιπλεκομένων ὁμοίων ἑτέρων τοῖς ἐξ ἀρχῆς αὐτὰ συντιθεῖσιν ἡ πρόσθεσις γίγνεται.

Ἀλλὰ τοῦτό γ' οὐκ αὔξησίς ἐστιν ἀλλὰ γένεσις, ὦ σοφώτατε· γίγνεται γὰρ ὁ θύλακος ἔτι καὶ ὁ σάκκος καὶ θοἰμάτιον καὶ ἡ οἰκία καὶ τὸ πλοῖον καὶ τῶν ἄλλων ἕκαστον, ὅταν μηδέπω τὸ προσῆκον εἶδος, οὗ χάριν ὑπὸ τοῦ τεχνίτου δημιουργεῖται, συμπεπληρωμένον ᾖ. πότ' οὖν αὐξάνεται; ὅταν ἤδη τέλειος ὢν ὁ τάλαρος, ὡς ἔχειν πυθμένα τέ τινα καὶ στόμα καὶ οἷον γαστέρα καὶ τὰ τούτων μεταξύ, μείζων ἅπασι τούτοις γένηται.
88 καὶ πῶς ‖ ἔσται τοῦτο; φήσει τις. πῶς δ' ἄλλως ἢ εἰ ζῷον ἐξαίφνης ἢ φυτὸν ὁ τάλαρος ἡμῖν γένοιτο; μόνων γὰρ τῶν ζώντων ἡ αὔξησις. σὺ δ' ἴσως οἴει τὴν οἰκίαν οἰκοδομουμένην αὐξάνε-

Now, how will they grow? By becoming extended in all directions and at the same time receiving nourishment. And if you will recall what I previously said about the bladder which the children blew up and rubbed,[1] you will also understand my meaning better as expressed in what I am now about to say.

Imagine the heart to be, at the beginning, so small as to differ in no respect from a millet-seed, or, if you will, a bean; and consider how otherwise it is to become large than by being extended in all directions and acquiring nourishment throughout its whole substance, in the way that, as I showed a short while ago, the semen is nourished. But even this was unknown to Erasistratus—the man who sings the artistic skill of Nature! He imagines that animals grow like webs, ropes, sacks, or baskets, each of which has, woven on to its end or margin, other material similar to that of which it was originally composed.

But this, most sapient sir, is not growth, but genesis! For a bag, sack, garment, house, ship, or the like is said to be still coming into existence [undergoing genesis] so long as the appropriate form for the sake of which it is being constructed by the artificer is still incomplete. Then, when does it grow? Only when the basket, being complete, with a bottom, a mouth, and a belly, as it were, as well as the intermediate parts, now becomes larger in all these respects. "And how can this happen?" someone will ask. Only by our basket suddenly becoming an animal or a plant; for growth belongs to living things alone. Possibly you imagine that a house *grows* when it is being built, or a basket when being

[1] pp. 27–29.

σθαι καὶ τὸν τάλαρον πλεκόμενον καὶ θοἰμάτιον ὑφαινόμενον. ἀλλ' οὐχ ὧδ' ἔχει· τοῦ μὲν γὰρ ἤδη συμπεπληρωμένου κατὰ τὸ εἶδος ἡ αὔξησις, τοῦ δ' ἔτι γιγνομένου ἡ εἰς τὸ εἶδος ὁδὸς οὐκ αὔξησις ἀλλὰ γένεσις ὀνομάζεται· αὐξάνεται μὲν γὰρ τὸ ὄν, γίγνεται δὲ τὸ οὐκ ὄν.

## IV

Καὶ ταῦτ' Ἐρασίστρατος οὐκ οἶδεν, ὃν οὐδὲν λανθάνει, εἴπερ ὅλως ἀληθεύουσιν οἱ ἀπ' αὐτοῦ φάσκοντες ὡμιληκέναι τοῖς ἐκ τοῦ περιπάτου φιλοσόφοις αὐτόν. ἄχρι μὲν οὖν τοῦ τὴν φύσιν ὑμνεῖν ὡς τεχνικὴν κἀγὼ γνωρίζω τὰ τοῦ περιπάτου δόγματα, τῶν δ' ἄλλων οὐδὲν οὐδ' ἐγγύς. εἰ γάρ τις ὁμιλήσειε τοῖς Ἀριστοτέλους καὶ Θεοφράστου γράμμασι, τῆς Ἱπποκράτους ἂν αὐτὰ δόξειε φυσιολογίας ὑπομνήματα συγκεῖσθαι,
89 τὸ θερμὸν καὶ τὸ ψυχρὸν || καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν εἰς ἄλληλα δρῶντα καὶ πάσχοντα καὶ τούτων αὐτῶν δραστικώτατον μὲν τὸ θερμόν, δεύτερον δὲ τῇ δυνάμει τὸ ψυχρὸν Ἱπποκράτους ταῦτα σύμπαντα πρώτου, δευτέρου δ' Ἀριστοτέλους εἰπόντος. τρέφεσθαι δὲ δι' ὅλων αὐτῶν τὰ τρεφόμενα καὶ κεράννυσθαι δι' ὅλων τὰ κεραννύμενα καὶ ἀλλοιοῦσθαι δι' ὅλων τὰ ἀλλοιούμενα, καὶ ταῦθ' Ἱπποκράτειά θ' ἅμα καὶ Ἀριστοτέλεια. καὶ τὴν πέψιν ἀλλοίωσίν τιν'

---

[1] *cf.* Introduction, p. xxvi. [2] *cf.* p. 15.

plaited, or a garment when being woven? It is not so, however. Growth belongs to that which has already been completed in respect to its form, whereas the process by which that which is still *becoming* attains its form is termed not growth but genesis. That which *is*, grows, while that which *is not*, becomes.

## IV

This also was unknown to Erasistratus, whom nothing escaped, if his followers speak in any way truly in maintaining that he was familiar with the Peripatetic philosophers. Now, in so far as he acclaims Nature as being an artist in construction, even I recognize the Peripatetic teachings, but in other respects he does not come near them. For if anyone will make himself acquainted with the writings of Aristotle and Theophrastus, these will appear to him to consist of commentaries on the Nature-lore [physiology][1] of Hippocrates—according to which the principles of heat, cold, dryness and moisture act upon and are acted upon by one another, the hot principle being the most active, and the cold coming next to it in power; all this was stated in the first place by Hippocrates and secondly by Aristotle.[2] Further, it is at once the Hippocratic and the Aristotelian teaching that the parts which are being nourished receive that nourishment throughout their whole substance, and that, similarly, processes of *mingling* and *alteration* involve the entire substance.[3] Moreover, that digestion is a species of

[3] For definitions of *alteration* and *mingling* (*crasis*, "temperament") *cf.* Book I., chaps. ii. and iii.

ὑπάρχειν καὶ μεταβολὴν τοῦ τρέφοντος εἰς τὴν
οἰκείαν τοῦ τρεφομένου ποιότητα, τὴν δ' ἐξαι-
μάτωσιν ἀλλοίωσιν εἶναι καὶ τὴν θρέψιν ὡσαύτως
καὶ τὴν αὔξησιν ἐκ τῆς πάντη διατάσεως καὶ
θρέψεως γίγνεσθαι, τὴν δ' ἀλλοίωσιν ὑπὸ τοῦ
θερμοῦ μάλιστα συντελεῖσθαι καὶ διὰ τοῦτο καὶ
τὴν πέψιν καὶ τὴν θρέψιν καὶ τὴν τῶν χυμῶν
ἁπάντων γένεσιν, ἤδη δὲ καὶ τοῖς περιττώμασι
τὰς ποιότητας ὑπὸ τῆς ἐμφύτου θερμασίας ἐγγί-
γνεσθαι, ταῦτα σύμπαντα καὶ πρὸς τούτοις ἕτερα
πολλὰ τά τε τῶν προειρημένων δυνάμεων καὶ
90 τὰ ‖ τῶν νοσημάτων τῆς γενέσεως καὶ τὰ τῶν
ἰαμάτων τῆς εὑρέσεως Ἱπποκράτης μὲν πρῶτος
ἁπάντων ὧν ἴσμεν ὀρθῶς εἶπεν, Ἀριστοτέλης δὲ
δεύτερος ὀρθῶς ἐξηγήσατο. καὶ μὴν εἰ ταῦτα
σύμπαντα τοῖς ἐκ τοῦ περιπάτου δοκεῖ, καθάπερ
οὖν δοκεῖ, μηδὲν δ' αὐτῶν ἀρέσκει τῷ Ἐρασιστρά-
τῳ, τί ποτε βούλεται τοῖς Ἐρασιστρατείοις ἡ
πρὸς τοὺς φιλοσόφους ἐκείνους τοῦ τῆς αἱρέσεως
αὐτῶν ἡγεμόνος ὁμιλία; θαυμάζουσι μὲν γὰρ
αὐτὸν ὡς θεὸν καὶ πάντ' ἀληθεύειν νομίζουσιν.
εἰ δ' οὕτως ἔχει ταῦτα, πάμπολυ δήπου τῆς
ἀληθείας ἐσφάλθαι χρὴ νομίζειν τοὺς ἐκ τοῦ
περιπάτου φιλοσόφους, οἷς μηδὲν ὧν Ἐρασί-
στρατος ὑπελάμβανεν ἀρέσκει. καὶ μὴν ὥσπερ
τιν' εὐγένειαν αὐτῷ τῆς φυσιολογίας τὴν πρὸς
τοὺς ἄνδρας ἐκείνους συνουσίαν ἐκπορίζουσι.

Πάλιν οὖν ἀναστρέψωμεν τὸν λόγον ἑτέρως ἢ
ὡς ὀλίγῳ πρόσθεν ἐτύχομεν εἰπόντες. εἴπερ γὰρ
οἱ ἐκ τοῦ περιπάτου καλῶς ἐφυσιολόγησαν,
οὐδὲν ἂν εἴη ληρωδέστερον Ἐρασιστράτου καὶ
δίδωμι τοῖς Ἐρασιστρατείοις αὐτοῖς τὴν αἵρεσιν·

alteration—a transmutation of the nutriment into the proper quality of the thing receiving it; that blood-production also is an alteration, and nutrition as well; that growth results from extension in all directions, combined with nutrition; that alteration is effected mainly by the warm principle, and that therefore digestion, nutrition, and the generation of the various humours, as well as the qualities of the surplus substances, result from the *innate heat*;[1] all these and many other points besides in regard to the aforesaid faculties, the origin of diseases, and the discovery of remedies, were correctly stated first by Hippocrates of all writers whom we know, and were in the second place correctly expounded by Aristotle. Now, if all these views meet with the approval of the Peripatetics, as they undoubtedly do, and if none of them satisfy Erasistratus, what can the Erasistrateans possibly mean by claiming that their leader was associated with these philosophers? The fact is, they revere him as a god, and think that everything he says is true. If this be so, then we must suppose the Peripatetics to have strayed very far from truth, since they approve of none of the ideas of Erasistratus. And, indeed, the disciples of the latter produce his connection with the Peripatetics in order to furnish his Nature-lore with a respectable pedigree.

Now, let us reverse our argument and put it in a different way from that which we have just employed. For if the Peripatetics were correct in their teaching about Nature, there could be nothing more absurd than the contentions of Erasistratus. And, I will leave it to the Erasistrateans themselves to decide:

[1] *i.e.* are associated with oxidation? *cf.* p. 41, note 3.

91 ἢ γὰρ τὸν πρότερον λόγον ἢ τοῦτον || προσήσονται. λέγει δ' ὁ μὲν πρότερος οὐδὲν ὀρθῶς ἐγνωκέναι περὶ φύσεως τοὺς περιπατητικούς, ὁ δὲ δεύτερος Ἐρασίστρατον. ἐμὸν μὲν οὖν ὑπομνῆσαι τῶν δογμάτων τὴν μάχην, ἐκείνων δ' ἡ αἵρεσις.

Ἀλλ' οὐκ ἂν ἀποσταῖεν τοῦ θαυμάζειν Ἐρασίστρατον· οὐκοῦν σιωπάτωσαν περὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων. παμπόλλων γὰρ ὄντων δογμάτων φυσικῶν περί τε γένεσιν καὶ φθορὰν τῶν ζῴων καὶ ὑγίειαν καὶ νόσους καὶ τὰς θεραπείας αὐτῶν ἓν μόνον εὑρεθήσεται ταὐτὸν Ἐρασιστράτῳ κἀκείνοις τοῖς ἀνδράσι, τό τινος ἕνεκα πάντα ποιεῖν τὴν φύσιν καὶ μάτην μηδέν.

Ἀλλὰ καὶ αὐτὸ τοῦτο μέχρι λόγου κοινόν, ἔργῳ δὲ μυριάκις Ἐρασίστρατος αὐτὸ διαφθείρει· μάτην μὲν γὰρ ὁ σπλὴν ἐγένετο, μάτην δὲ τὸ ἐπίπλοον, μάτην δ' αἱ εἰς τοὺς νεφροὺς ἀρτηρίαι καταφυόμεναι, σχεδὸν ἁπασῶν τῶν ἀπὸ τῆς μεγάλης ἀρτηρίας ἀποβλαστανουσῶν οὖσαι μέγισται, μάτην δ' ἄλλα μυρία κατά γε τὸν Ἐρασιστράτειον λόγον· ἅπερ εἰ μὲν οὐδ' ὅλως γιγνώσκει, βραχεῖ μαγείρου σοφώτερός ἐστιν ἐν ταῖς ἀνατομαῖς, εἰ δ' εἰδὼς οὐ λέγει τὴν χρείαν
92 αὐτῶν, οἴεται || δηλονότι παραπλησίως τῷ σπληνὶ μάτην αὐτὰ γεγονέναι. καίτοι τί ταῦτ' ἐπεξέρχομαι τῆς περὶ χρείας μορίων πραγματείας ὄντα μελλούσης ἡμῖν ἰδίᾳ περαίνεσθαι;

---

[1] "Useless" organs; *cf.* p. 56, note 2. For fallacy of Erasistratus's view on the spleen *v.* p. 205.

they must either advance the one proposition or the other. According to the former one the Peripatetics had no accurate acquaintance with Nature, and according to the second, Erasistratus. It is my task, then, to point out the opposition between the two doctrines, and theirs to make the choice. . . .

But they certainly will not abandon their reverence for Erasistratus. Very well, then; let them stop talking about the Peripatetic philosophers. For among the numerous physiological teachings regarding the genesis and destruction of animals, their health, their diseases, and the methods of treating these, there will be found one only which is common to Erasistratus and the Peripatetics—namely, the view that Nature does everything for some purpose, and nothing in vain.

But even as regards this doctrine their agreement is only verbal; in practice Erasistratus makes havoc of it a thousand times over. For, according to him, the spleen was made for no purpose, as also the omentum; similarly, too, the arteries which are inserted into kidneys[1]—although these are practically the largest of all those that spring from the great artery [aorta]! And to judge by the Erasistratean argument, there must be countless other useless structures; for, if he knows nothing at all about these structures, he has little more anatomical knowledge than a butcher, while, if he is acquainted with them and yet does not state their use, he clearly imagines that they were made for no purpose, like the spleen. Why, however, should I discuss these structures fully, belonging as they do to the treatise "On the Use of Parts," which I am personally about to complete?

Πάλιν οὖν ἀναλάβωμεν τὸν αὐτὸν λόγον εἰπόντες τέ τι βραχὺ πρὸς τοὺς Ἐρασιστρατείους ἔτι τῶν ἐφεξῆς ἐχώμεθα. δοκοῦσι γάρ μοι μηδὲν ἀνεγνωκέναι τῶν Ἀριστοτέλους οὗτοι συγγραμμάτων, ἀλλ' ἄλλων ἀκούοντες, ὡς δεινὸς ἦν περὶ φύσιν ὁ ἄνθρωπος καὶ ὡς οἱ ἀπὸ τῆς στοᾶς κατ' ἴχνη τῆς ἐκείνου φυσιολογίας βαδίζουσιν, εἶθ' εὑρόντες ἕν τι τῶν περιφερομένων δογμάτων κοινὸν αὐτῷ πρὸς Ἐρασίστρατον ἀναπλάσαι τινὰ συνουσίαν αὐτοῦ πρὸς ἐκείνους τοὺς ἄνδρας. ἀλλ' ὅτι μὲν τῆς Ἀριστοτέλους φυσιολογίας οὐδὲν Ἐρασιστράτῳ μέτεστιν, ὁ κατάλογος τῶν προειρημένων ἐνδείκνυται δογμάτων, ἃ πρώτου μὲν Ἱπποκράτους ἦν, δευτέρου δ' Ἀριστοτέλους, τρίτων δὲ τῶν Στωϊκῶν, ἑνὸς μόνου μετατιθεμένου τοῦ τὰς ποιότητας εἶναι σώματα.

Τάχα δ' ἂν τῆς λογικῆς ἕνεκα θεωρίας ὡμιληκέναι φαῖεν τὸν Ἐρασίστρατον τοῖς ἐκ τοῦ περιπάτου φιλοσόφοις, οὐκ εἰδότες, ὡς ἐκεῖνοι
93 μὲν ψευ||δεῖς καὶ ἀπεράντους οὐκ ἔγραψαν λόγους, τὰ δ' Ἐρασιστράτεια βιβλία παμπόλλους ἔχει τοὺς τοιούτους.

Τάχ' ἂν οὖν ἤδη τις θαυμάζοι καὶ διαποροίη, τί παθὼν ὁ Ἐρασίστρατος εἰς τοσοῦτον τῶν Ἱπποκράτους δογμάτων ἀπετράπετο καὶ διὰ τί τῶν ἐν ἥπατι πόρων τῶν χοληδόχων, ἅλις γὰρ ἤδη νεφρῶν, ἀφελόμενος τὴν ἑλκτικὴν δύναμιν ἐπίκαιρον αἰτιᾶται θέσιν καὶ στομάτων

[1] The Stoics. [2] The Peripatetics (Aristotelians).

[3] Aristotle regarded the *qualitative* differences apprehended by our senses (the cold, the warm, the moist, and the dry) as fundamental, while the Stoics held the four corporeal elements

Let us, then, sum up again this same argument, and, having said a few words more in answer to the Erasistrateans, proceed to our next topic. The fact is, these people seem to me to have read none of Aristotle's writings, but to have heard from others how great an authority he was on "Nature," and that those of the Porch[1] follow in the steps of his Nature-lore; apparently they then discovered a single one of the current ideas which is common to Aristotle and Erasistratus, and made up some story of a connection between Erasistratus and these people.[2] That Erasistratus, however, has no share in the Nature-lore of Aristotle is shown by an enumeration of the aforesaid doctrines, which emanated first from Hippocrates, secondly from Aristotle, thirdly from the Stoics (with a single modification, namely, that for them the *qualities* are *bodies*).[3]

Perhaps, however, they will maintain that it was in the matter of *logic* that Erasistratus associated himself with the Peripatetic philosophers? Here they show ignorance of the fact that these philosophers never brought forward false or inconclusive arguments, while the Erasistratean books are full of them.

So perhaps somebody may already be asking, in some surprise, what possessed Erasistratus that he turned so completely from the doctrines of Hippocrates, and why it is that he takes away the attractive faculty from the biliary[4] passages in the liver—for we have sufficiently discussed the kidneys—alleging [as the cause of bile-secretion] a favourable situation, the narrowness of vessels, and a

(earth, air, fire, and water) to be still more fundamental. *cf.* p. 8, note 3.

[4] Lit. bile-receiving (choledochous).

στενότητα καὶ χώραν τινὰ κοινήν, εἰς ἣν παράγουσι μὲν αἱ ἀπὸ τῶν πυλῶν τὸ ἀκάθαρτον αἷμα, μεταλαμβάνουσι δὲ πρότεροι μὲν οἱ πόροι τὴν χολήν, δεύτεραι δ' αἱ ἀπὸ τῆς κοίλης φλεβὸς τὸ καθαρὸν αἷμα. πρὸς γὰρ τῷ μηδὲν ἂν βλαβῆναι τὴν ὁλκὴν εἰπὼν ἄλλων μυρίων ἔμελλεν ἀμφισβητουμένων ἀπαλλάξεσθαι λόγων.

## V

Ὡς νῦν γε πόλεμος οὐ σμικρός ἐστι τοῖς Ἐρασιστρατείοις οὐ πρὸς τοὺς ἄλλους μόνον ἀλλὰ καὶ πρὸς ἀλλήλους, οὐκ ἔχουσιν, ὅπως ἐξηγήσωνται τὴν ἐκ τοῦ πρώτου τῶν καθόλου
94 λόγων λέξιν, ἐν ᾗ φησιν· "Εἰς τὸ || αὐτὸ δ' ἀνεστομωμένων ἑτέρων δύο ἀγγείων τῶν τ' ἐπὶ τὴν χοληδόχον τεινόντων καὶ τῶν ἐπὶ τὴν κοίλην φλέβα συμβαίνει τῆς ἀναφερομένης ἐκ τῆς κοιλίας τροφῆς τὰ ἐναρμόζοντα ἑκατέροις τῶν στομάτων εἰς ἑκάτερα τῶν ἀγγείων μεταλαμβάνεσθαι καὶ τὰ μὲν ἐπὶ τὴν χοληδόχον φέρεσθαι, τὰ δ' ἐπὶ τὴν κοίλην φλέβα περαιοῦσθαι." τὸ γὰρ "εἰς τὸ αὐτὸ ἀνεστομωμένων," ὃ κατ' ἀρχὰς τῆς λέξεως γέγραπται, τί ποτε χρὴ νοῆσαι, χαλεπὸν εἰπεῖν. ἤτοι γὰρ οὕτως εἰς ταὐτόν, ὥστε τῷ τῆς ἐν τοῖς σιμοῖς φλεβὸς πέρατι συνάπτειν δύο ἕτερα πέρατα, τό τ' ἐν τοῖς

[1] *Jecoris portae*, the transverse fissure, by which the portal vein enters the liver.

*common space* into which the veins from the gateway [of the liver][1] conduct the unpurified blood, and from which, in the first place, the [biliary] passages take over the bile, and secondly, the [branches] of the vena cava take over the purified blood. For it would not only have done him no harm to have mentioned the idea of *attraction*, but he would thereby have been able to get rid of countless other disputed questions.

## V

At the actual moment, however, the Erasistrateans are engaged in a considerable battle, not only with others but also amongst themselves, and so they cannot explain the passage from the first book of the "General Principles," in which Erasistratus says, "Since there are two kinds of vessels opening[2] at the same place, the one kind extending to the gall-bladder and the other to the vena cava, the result is that, of the nutriment carried up from the alimentary canal, that part which fits both kinds of stomata is received into both kinds of vessels, some being carried into the gall-bladder, and the rest passing over into the vena cava." For it is difficult to say what we are to understand by the words "opening at the same place" which are written at the beginning of this passage. Either they mean there is a *junction*[3] between the termination of the vein which is on the concave surface of the liver[4] and two other vascular terminations (that of the vessel on the convex surface of the liver[5]

[2] Lit. "anastomosing."
[3] More literally, "synapse."
[4] The portal vein.
[5] The hepatic vein or veins.

*κυρτοῖς καὶ τὸ τοῦ χοληδόχου πόρου, ἤ, εἰ μὴ οὕτω, χώραν τινὰ κοινὴν ἐπινοῆσαι χρὴ τῶν τριῶν ἀγγείων οἷον δεξαμενήν τινα, πληρουμένην μὲν ὑπὸ τῆς κάτω φλεβός, ἐκκενουμένην δ' εἴς τε τοὺς χοληδόχους πόρους καὶ τὰς τῆς κοίλης ἀποσχίδας· καθ' ἑκατέραν δὲ τῶν ἐξηγήσεων ἄτοπα πολλά, περὶ ὧν εἰ πάντων λέγοιμι, λάθοιμ' ἂν ἐμαυτὸν ἐξηγήσεις Ἐρασιστράτου γράφων, οὐχ, ὅπερ ἐξ ἀρχῆς προὐθέμην, περαίνων. κοινὸν δ' ἀμφοτέραις ταῖς ἐξηγήσεσιν ἄτοπον τὸ μὴ ||*
95 *καθαίρεσθαι πᾶν τὸ αἷμα. χρὴ γὰρ ὡς εἰς ἠθμόν τινα τὸ χοληδόχον ἀγγεῖον ἐμπίπτειν αὐτό, οὐ παρέρχεσθαι καὶ παραρρεῖν ὠκέως εἰς τὸ μεῖζον στόμα τῇ ῥύμῃ τῆς ἀναδόσεως φερόμενον.*

*Ἆρ' οὖν ἐν τούτοις μόνον ἀπορίαις ἀφύκτοις ὁ Ἐρασιστράτου λόγος ἐνέχεται μὴ βουληθέντος χρήσασθαι ταῖς ἑλκτικαῖς δυνάμεσιν εἰς μηδέν, ἢ σφοδρότατα μὲν ἐν τούτοις καὶ σαφῶς οὕτως, ὡς ἂν μηδὲ παῖδα λαθεῖν;*

## VI

*Εἰ δ' ἐπισκοποῖτό τις ἐπιμελῶς, οὐδ' ὁ περὶ θρέψεως αὐτοῦ λόγος, ὃν ἐν τῷ δευτέρῳ τῶν καθόλου λόγων διεξέρχεται, τὰς αὐτὰς ἀπορίας ἐκφεύγει. τῇ γὰρ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συγχωρηθέντος ἑνὸς λήμματος, ὡς πρόσθεν ἐδείκνυμεν, ἐπέραινέ τι περὶ φλεβῶν μόνων καὶ τοῦ κατ' αὐτὰς αἵματος. ἐκρέοντος γάρ τινος*

[1] The portal vein. [2] *cf.* p. 120, note 1.

and that of the bile-duct), or, if not, then we must suppose that there is, as it were, a common space for all three vessels, which becomes filled from the lower vein,[1] and empties itself both into the bile-duct and into the branches of the vena cava. Now, there are many difficulties in both of these explanations, but if I were to state them all, I should find myself inadvertently writing an exposition of the teaching of Erasistratus, instead of carrying out my original undertaking. There is, however, one difficulty common to both these explanations, namely, that the whole of the blood does not become purified. For it ought to fall into the bile-duct as into a kind of sieve, instead of going (running, in fact, rapidly) past it, into the larger stoma, by virtue of the impulse of *anadosis*.

Are these, then, the only inevitable difficulties in which the argument of Erasistratus becomes involved through his disinclination to make any use of the attractive faculty, or is it that the difficulty is greatest here, and also so obvious that even a child could not avoid seeing it?

## VI

And if one looks carefully into the matter one will find that even Erasistratus's reasoning on the subject of *nutrition*, which he takes up in the second book of his "General Principles," fails to escape this same difficulty. For, having conceded one premise to the principle that matter tends to fill a vacuum, as we previously showed, he was only able to draw a conclusion in the case of the veins and their contained blood.[2] That is to say, when

κατὰ τὰ στόματ' αὐτῶν καὶ διαφορουμένου καὶ μήτ' ἀθρόως τόπου κενοῦ δυναμένου γενέσθαι μήτε τῶν φλεβῶν συμπεσεῖν, τοῦτο γὰρ ἦν τὸ παραλειπόμενον, ἀναγκαῖον ἦν ἕπεσθαι τὸ συνεχὲς
96 ἀναπληροῦν τοῦ κενου||μένου τὴν βάσιν. αἱ μὲν δὴ φλέβες ἡμῖν οὕτω θρέψονται τοῦ περιεχομένου κατ' αὐτὰς αἵματος ἀπολαύουσαι· τὰ δὲ νεῦρα πῶς; οὐ γὰρ δὴ κἀν τούτοις ἐστὶν αἷμα. πρόχειρον μὲν γὰρ ἦν εἰπεῖν, ἕλκοντα παρὰ τῶν φλεβῶν· ἀλλ' οὐ βούλεται. τί ποτ' οὖν κἀνταῦθα ἐπιτεχνᾶται; φλέβας ἔχειν ἐν ἑαυτῷ καὶ ἀρτηρίας τὸ νεῦρον ὥσπερ τινὰ σειρὰν ἐκ τριῶν ἱμάντων διαφερόντων τῇ φύσει πεπλεγμένην. ᾠήθη γὰρ ἐκ ταύτης τῆς ὑποθέσεως ἐκφεύξεσθαι τῷ λόγῳ τὴν ὁλκήν· οὐ γὰρ ἂν ἔτι δεήσεσθαι τὸ νεῦρον ἐν ἑαυτῷ περιέχον αἵματος ἀγγεῖον ἐπιρρύτου τινὸς ἔξωθεν ἐκ τῆς παρακειμένης φλεβὸς τῆς ἀληθινῆς αἵματος ἑτέρου, ἀλλ' ἱκανὸν αὐτῷ πρὸς τὴν θρέψιν ἔσεσθαι τὸ κατεψευσμένον ἀγγεῖον ἐκεῖνο τὸ λόγῳ θεωρητόν.

Ἀλλὰ κἀνταῦθα πάλιν αὐτὸν ὁμοία τις ἀπορία διεδέξατο. τουτὶ γὰρ τὸ σμικρὸν ἀγγεῖον ἑαυτὸ μὲν θρέψει, τὸ παρακείμενον μέντοι νεῦρον ἐκεῖνο τὸ ἁπλοῦν ἢ τὴν ἀρτηρίαν οὐχ οἷόν τ' ἔσται τρέφειν ἄνευ τοῦ σύμφυτόν τιν' ὑπάρχειν αὐτοῖς
97 ὁλκὴν τῆς τροφῆς. || τῇ μὲν γὰρ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ πῶς ἂν ἔτι δύναιτο τὴν τροφὴν ἐπισπᾶσθαι τὸ ἁπλοῦν νεῦρον, ὥσπερ αἱ φλέβες

---

[1] *cf.* p. 272, note 1.
[2] *i.e.* one might assume an *attraction.*

blood is running away through the stomata of the veins, and is being dispersed, then, since an absolutely empty space cannot result, and the veins cannot collapse (for this was what he overlooked), it was therefore shown to be necessary that the adjoining quantum of fluid should flow in and fill the place of the fluid evacuated. It is in this way that we may suppose the veins to be nourished; they get the benefit of the blood which they contain. But how about the nerves?[1] For they do not also contain blood. One might obviously say that they draw their supply from the veins.[2] But Erasistratus will not have it so. What further contrivance, then, does he suppose? He says that a nerve has within itself veins and arteries, like a rope woven by Nature out of three different strands. By means of this hypothesis he imagined that his theory would escape from the idea of *attraction*. For if the nerve contain within itself a blood-vessel it will no longer need the adventitious flow of other blood from the real vein lying adjacent; this fictitious vessel, perceptible only in theory,[3] will suffice it for nourishment.

But this, again, is succeeded by another similar difficulty. For this small vessel will nourish itself, but it will not be able to nourish this adjacent simple nerve or artery, unless these possess some innate proclivity for attracting nutriment. For how could the *nerve*, being simple, attract its nourishment, as do the composite veins, by virtue of the tendency

[3] *i.e.* visible to the mind's eye as distinguished from the bodily eye. *cf.* p. 21, note 4. *Theoreton* without qualification means merely *visible*, not *theoretic*. *cf.* p. 205, note 1.

*αἱ σύνθετοι; κοιλότης μὲν γάρ τίς ἐστιν ἐν αὐτῷ κατ' αὐτόν, ἀλλ' οὐχ αἵματος αὕτη γ' ἀλλὰ πνεύματος ψυχικοῦ μεστή. δεόμεθα δ' ἡμεῖς οὐκ εἰς τὴν κοιλότητα ταύτην εἰσάγειν τῷ λόγῳ τὴν τροφὴν ἀλλ' εἰς τὸ περιέχον αὐτὴν ἀγγεῖον, εἴτ' οὖν τρέφεσθαι μόνον εἴτε καὶ αὔξεσθαι δέοιτο. πῶς οὖν εἰσάξομεν; οὕτω γάρ ἐστι σμικρὸν ἐκεῖνο τὸ ἁπλοῦν ἀγγεῖον καὶ μέντοι καὶ τῶν ἄλλων ἑκάτερον, ὥστ', εἰ τῇ λεπτοτάτῃ βελόνῃ νύξειάς τι μέρος, ἅμα διαιρήσεις τὰ τρία. τόπος οὖν αἰσθητὸς ἀθρόως κενὸς οὐκ ἄν ποτ' ἐν αὐτῷ γένοιτο· λόγῳ δὲ θεωρητὸς τόπος κενούμενος οὐκ ἦν ἀναγκαστικὸς τῆς τοῦ συνεχοῦς ἀκολουθίας.*

*Ἠβουλόμην δ' αὖ πάλιν μοι κἀνταῦθα τὸν Ἐρασίστρατον αὐτὸν ἀποκρίνασθαι περὶ τοῦ στοιχειώδους ἐκείνου νεύρου τοῦ σμικροῦ, πότερον ἕν τι καὶ συνεχὲς ἀκριβῶς ἐστιν ἢ ἐκ πολλῶν καὶ σμικρῶν σωμάτων, ὧν Ἐπίκουρος καὶ Λεύ-*
98 *κιππος καὶ Δημόκριτος ὑπέθεντο, σύγ||κειται. καὶ γὰρ καὶ περὶ τούτου τοὺς Ἐρασιστρατείους ὁρῶ διαφερομένους. οἱ μὲν γὰρ ἕν τι καὶ συνεχὲς αὐτὸ νομίζουσιν ἢ οὐκ ἂν ἁπλοῦν εἰρῆσθαι πρὸς αὐτοῦ φασι· τινὲς δὲ καὶ τοῦτο διαλύειν εἰς ἕτερα στοιχειώδη τολμῶσιν. ἀλλ' εἰ μὲν ἕν τι καὶ συνεχές ἐστι, τὸ κενούμενον ἐξ αὐτοῦ κατὰ τὴν ἄδηλον ὑπὸ τῶν ἰατρῶν ὀνομαζομένην διαπνοὴν*

---

[1] According to the Pneumatist school, certain of whose ideas were accepted by Erasistratus, the air, breath pneuma, or spirit was brought by inspiration into the left side of the heart, where it was converted into natural, vital, and psychic pneuma ; the latter then went to the brain, whence it was distributed through the nervous system ; practically

of a vacuum to become refilled? For, although according to Erasistratus, it contains within itself a cavity of sorts, this is not occupied with blood, but with *psychic pneuma*,[1] and we are required to imagine the nutriment introduced, not into this cavity, but into the vessel containing it, whether it needs merely to be nourished, or to grow as well. How, then, are we to imagine it introduced? For this simple vessel [*i.e.* nerve] is so small—as are also the other two—that if you prick it at any part with the finest needle you will tear the whole three of them at once. Thus there could never be in it a perceptible space entirely empty. And an emptied space which merely existed in theory could not compel the adjacent fluid to come and fill it.

At this point, again, I should like Erasistratus himself to answer regarding this small elementary nerve, whether it is actually one and definitely continuous, or whether it consists of many small bodies, such as those assumed by Epicurus, Leucippus, and Democritus.[2] For I see that the Erasistrateans are at variance on this subject. Some of them consider it one and continuous, for otherwise, as they say, he would not have called it *simple*; and some venture to resolve it into yet other elementary bodies. But if it be one and continuous, then what is evacuated from it in the so-called *insensible transpiration* of the

this teaching involved the idea of a *psyche*, or conscious vital principle. "Psychic pneuma" is in Latin *spiritus animalis* (*anima* = *psyche*); *cf.* p. 126, note 4. Introduction, p. xxxiv.

[2] Observe that Erasistratus's "simple nerve" may be almost looked on as an anticipation of the *cell*. The question Galen now asks is whether this vessel is a "unit mass of living matter," or merely an agglomeration of *atoms* subject to mechanical law. *cf.* Galen's "fibres," p. 329.

*οὐδεμίαν ἐν ἑαυτῷ καταλείψει χώραν κενήν. οὕτω γὰρ οὐχ ἓν ἀλλὰ πολλὰ γενήσεται, διειργόμενα δήπου ταῖς κεναῖς χώραις. εἰ δ' ἐκ πολλῶν σύγκειται, τῇ κηπαίᾳ κατὰ τὴν παροιμίαν πρὸς Ἀσκληπιάδην ἀπεχωρήσαμεν ἄναρμά τινα στοιχεῖα τιθέμενοι. πάλιν οὖν ἄτεχνος ἡμῖν ἡ φύσις λεγέσθω· τοῖς γὰρ τοιούτοις στοιχείοις ἐξ ἀνάγκης τοῦθ' ἕπεται.*

*Διὸ δή μοι καὶ δοκοῦσιν ἀμαθῶς πάνυ τὴν εἰς τὰ τοιαῦτα στοιχεῖα τῶν ἁπλῶν ἀγγείων εἰσάγειν διάλυσιν ἔνιοι τῶν Ἐρασιστρατείων. ἐμοὶ γοῦν οὐδὲν διαφέρει. καθ' ἑκατέρους γὰρ ἄτοπος ὁ τῆς θρέψεως ἔσται λόγος, ἐκείνοις τοῖς ἁπλοῖς ἀγγείοις τοῖς σμικροῖς τοῖς συντιθεῖσι τὰ μεγάλα ||*
99 *τε καὶ αἰσθητὰ νεῦρα κατὰ μὲν τοὺς συνεχῆ φυλάττοντας αὐτὰ μὴ δυναμένης γενέσθαι τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας, ὅτι μηδὲν ἐν τῷ συνεχεῖ γίγνεται κενόν, κἂν ἀπορρέῃ τι· συνέρχεται γὰρ πρὸς ἄλληλα τὰ καταλειπόμενα μόρια, καθάπερ ἐπὶ τοῦ ὕδατος ὁρᾶται, καὶ πάλιν ἓν γίγνεται πάντα τὴν χώραν τοῦ διαφορηθέντος αὐτὰ καταλαμβάνοντα· κατὰ δὲ τοὺς ἑτέρους, ὅτι τῶν στοιχείων ἐκείνων οὐδὲν δεῖται τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας. ἐπὶ γὰρ τῶν αἰσθητῶν μόνων, οὐκ ἐπὶ τῶν λόγῳ θεωρητῶν ἔχει δύναμιν, ὡς αὐτὸς ὁ Ἐρασίστρατος ὁμολογεῖ διαρρήδην, οὐ περὶ τοῦ τοιούτου κενοῦ φάσκων ἑκάστοτε ποιεῖσθαι τὸν λόγον, ὃ κατὰ βραχὺ παρέσπαρται τοῖς σώμασιν, ἀλλὰ περὶ τοῦ σαφοῦς καὶ αἰσθητοῦ καὶ ἀθρόου καὶ μεγάλου καὶ ἐναργοῦς καὶ ὅπως ἂν ἄλλως ὀνομάζειν ἐθέλῃς. Ἐρασίστρατος μὲν γὰρ αὐτὸς αἰσθητὸν ἀθρόως οὔ φησι δύνασθαι*

physicians will leave no empty space in it; otherwise it would not be one body but many, separated by empty spaces. But if it consists of many bodies, then we have "escaped by the back door," as the saying is, to Asclepiades, seeing that we have postulated certain *inharmonious elements*. Once again, then, we must call Nature "inartistic"; for this necessarily follows the assumption of such elements.

For this reason some of the Erasistrateans seem to me to have done very foolishly in reducing the simple vessels to elements such as these. Yet it makes no difference to me, since the theory of both parties regarding nutrition will be shown to be absurd. For in these minute simple vessels constituting the large perceptible nerves, it is impossible, according to the theory of those who would keep the former continuous, that any "refilling of a vacuum" should take place, since no vacuum can occur in a continuum even if anything does run away; for the parts left come together (as is seen in the case of water) and again become one, taking up the whole space of that which previously separated them. Nor will any "refilling" occur if we accept the argument of the other Erasistrateans, since none of their *elements* need it. For this principle only holds of things which are perceptible, and not of those which exist merely in theory; this Erasistratus expressly acknowledges, for he states that it is not a vacuum such as this, interspersed in small portions among the corpuscles, that his various treatises deal with, but a vacuum which is clear, perceptible, complete in itself, large in size, evident, or however else one cares to term it (for, what Erasistratus himself says is, that "there cannot be a

γενέσθαι κενόν· ἐγὼ δ' ἐκ περιουσίας εὐπορήσας ὀνομάτων ταὐτὸν δηλοῦν ἔν γε τῷ νῦν προκειμένῳ λόγῳ δυναμένων καὶ τἆλλα προσέθηκα.

100 Κάλλιον οὖν μοι δοκεῖ καὶ || ἡμᾶς τι συνεισενέγκασθαι τοῖς Ἐρασιστρατείοις, ἐπειδὴ κατὰ τοῦτο γεγόναμεν, καὶ συμβουλεῦσαι τοῖς τὸ πρῶτον ἐκεῖνο καὶ ἁπλοῦν ὑπ' Ἐρασιστράτου καλούμενον ἀγγεῖον εἰς ἕτερ' ἄττα σώματα στοιχειώδη διαλύουσιν ἀποστῆναι τῆς ὑπολήψεως, ὡς πρὸς τῷ μηδὲν ἔχειν πλέον ἔτι καὶ διαφερομένοις Ἐρασιστράτῳ. ὅτι μὲν οὖν οὐδὲν ἔχει πλέον, ἐπιδέδεικται σαφῶς· οὐδὲ γὰρ ἠδυνήθη διαφυγεῖν τὴν περὶ τῆς θρέψεως ἀπορίαν ἡ ὑπόθεσις· ὅτι δ' οὐδ' Ἐρασιστράτῳ σύμφωνός ἐστιν, ὃ ἐκεῖνος ἁπλοῦν καὶ πρῶτον ὀνομάζει, σύνθετον ἀποφαίνουσα, καὶ τὴν τῆς φύσεως τέχνην ἀναιροῦσα, πρόδηλον καὶ τοῦτ' εἶναί μοι δοκεῖ. εἰ μὴ γὰρ κἀν τοῖς ἁπλοῖς τούτοις ἕνωσίν τινα τῆς οὐσίας ἀπολείψομεν, ἀλλ' εἰς ἄναρμα καὶ ἀμέριστα καταβησόμεθα στοιχεῖα, παντάπασιν ἀναιρήσομεν τῆς φύσεως τὴν τέχνην, ὥσπερ καὶ πάντες οἱ ἐκ ταύτης ὁρμώμενοι τῆς ὑποθέσεως ἰατροὶ καὶ φιλόσοφοι. δευτέρα γὰρ τῶν τοῦ ζῴου μορίων κατὰ τὴν τοιαύτην ὑπόθεσιν ἡ φύσις, οὐ πρώτη
101 γίγνεται. διαπλάττειν δὲ || καὶ δημιουργεῖν οὐ τοῦ δευτέρου γεγονότος, ἀλλὰ τοῦ προϋπάρχοντός ἐστιν· ὥστ' ἀναγκαῖόν ἐστιν εὐθὺς ἐκ σπερμάτων ὑποθέσθαι τὰς δυνάμεις τῆς φύσεως, αἷς δια-

---

[1] *cf.* Book I., chap xii.

[2] *i.e.* in biology we must begin with living substance—with something which is specifically alive—here with the "unit mass of living matter." *cf.* p. 73, note 3.

perceptible space which is entirely empty" ; while I, for my part, being abundantly equipped with terms which are equally elucidatory, at least in relation to the present topic of discussion, have added them as well).

Thus it seems to me better that we also should help the Erasistrateans with some contribution, since we are on the subject, and should advise those who reduce the vessel called *primary* and *simple* by Erasistratus into other elementary bodies to give up their opinion; for not only do they gain nothing by it, but they are also at variance with Erasistratus in this matter. That they gain nothing by it has been clearly demonstrated; for this hypothesis could not escape the difficulty regarding *nutrition.* And it also seems perfectly evident to me that this hypothesis is not in consonance with the view of Erasistratus, when it declares that what he calls simple and primary is composite, and when it destroys the principle of Nature's artistic skill.[1] For, if we do not grant a certain *unity of substance*[2] to these simple structures as well, and if we arrive eventually at inharmonious and indivisible elements,[3] we shall most assuredly deprive Nature of her artistic skill, as do all the physicians and philosophers who start from this hypothesis. For, according to such a hypothesis, Nature does not precede, but is secondary to the *parts* of the animal.[4] Now, it is not the province of what comes secondarily, but of what pre-exists, to shape and to construct. Thus we must necessarily suppose that the faculties of Nature, by which she

[3] "Ad elementa quae nec coalescere possunt nec in partes dividi" (Linacre). On the two contrasted schools *cf.* p. 45.
[4] *cf. loc. cit.*

πλάττει τε καὶ αὐξάνει καὶ τρέφει τὸ ζῷον· ἀλλ' ἐκείνων τῶν σωμάτων τῶν ἀνάρμων καὶ ἀμερῶν οὐδὲν ἐν ἑαυτῷ διαπλαστικὴν ἔχει δύναμιν ἢ αὐξητικὴν ἢ θρεπτικὴν ἢ ὅλως τεχνικήν· ἀπαθὲς γὰρ καὶ ἀμετάβλητον ὑπόκειται. τῶν δ' εἰρημένων οὐδὲν ἄνευ μεταβολῆς καὶ ἀλλοιώσεως καὶ τῆς δι' ὅλων κράσεως γίγνεται, καθάπερ καὶ διὰ τῶν ἔμπροσθεν ἐνεδειξάμεθα. καὶ διὰ ταύτην τὴν ἀνάγκην οὐκ ἔχοντες, ὅπως τὰ ἀκόλουθα τοῖς στοιχείοις, οἷς ὑπέθεντο, φυλάττοιεν, οἱ ἀπὸ τῶν τοιούτων αἱρέσεων ἅπαντες ἄτεχνον ἠναγκάσθησαν ἀποφήνασθαι τὴν φύσιν. καίτοι ταῦτά γ' οὐ παρ' ἡμῶν ἐχρῆν μανθάνειν τοὺς Ἐρασιστρατείους, ἀλλὰ παρ' αὐτῶν τῶν φιλοσόφων, οἷς μάλιστα δοκεῖ πρῶτον ἐπισκοπεῖσθαι τὰ στοιχεῖα τῶν ὄντων ἁπάντων.

Οὔκουν οὐδ' Ἐρασίστρατον ἄν τις ὀρθῶς ἄχρι τοσαύτης ἀμαθίας νομίζοι προήκειν, ὡς μηδὲ
102 ταύτην γνωρίσαι δυνηθῆναι τὴν ἀκολουθίαν, ἀλλ' ἅμα μὲν ὑποθέσθαι τεχνικὴν τὴν φύσιν, ἅμα δ' εἰς ἀπαθῆ καὶ ἄναρμα καὶ ἀμετάβλητα στοιχεῖα καταθραῦσαι τὴν οὐσίαν. καὶ μὴν εἰ δώσει τιν' ἐν τοῖς στοιχείοις ἀλλοίωσίν τε καὶ μεταβολὴν καὶ ἕνωσιν καὶ συνέχειαν, ἓν ἀσύνθετον αὐτῷ τὸ ἁπλοῦν ἀγγεῖον ἐκεῖνο, καθάπερ καὶ αὐτὸς ὀνομάζει, γενήσεται. ἀλλ' ἡ μὲν ἁπλῆ φλὲψ ἐξ αὑτῆς τραφήσεται, τὸ νεῦρον δὲ καὶ ἡ ἀρτηρία παρὰ τῆς φλεβός.

---

[1] "*Auxetic.*" *cf.* p. 26, note 1.

[2] "At corporum quae nec una committi nec dividi possunt nullum in se formatricem, auctricem, nutricem, aut

shapes the animal, and makes it grow and receive nourishment, are present from the seed onwards; whereas none of these inharmonious and non-partite corpuscles contains within itself any formative, incremental,[1] nutritive, or, in a word, any artistic power; it is, by hypothesis, unimpressionable and untransformable,[2] whereas, as we have previously shown,[3] none of the processes mentioned takes place without transformation, alteration, and complete intermixture. And, owing to this necessity, those who belong to these sects are unable to follow out the consequences of their supposed elements, and they are all therefore forced to declare Nature devoid of art. It is not from us, however, that the Erasistrateans should have learnt this, but from those very philosophers who lay most stress on a preliminary investigation into the elements of all existing things.

Now, one can hardly be right in supposing that Erasistratus could reach such a pitch of foolishness as to be incapable of recognizing the logical consequences of this theory, and that, while assuming Nature to be artistically creative, he would at the same time break up substance into insensible, inharmonious, and untransformable elements. If, however, he will grant that there occurs in the elements a process of alteration and transformation, and that there exists in them unity and continuity, then that *simple vessel* of his (as he himself names it) will turn out to be single and uncompounded. And the simple vein will receive nourishment from itself, and the nerve and artery from the vein. How, and in what

in summa artificem facultatem habet; quippe quod impatibile esse immutibileque praesumitur" (Linacre).

[3] Book I., chaps. v.–xi.

πῶς καὶ τίνα τρόπον; ἐν τούτῳ γὰρ δὴ καὶ πρόσθεν γενόμενοι τῷ λόγῳ τῆς τῶν Ἐρασιστρατείων διαφωνίας ἐμνημονεύσαμεν, ἐπεδείξαμεν δὲ καὶ καθ' ἑκατέρους μὲν ἄπορον εἶναι τὴν τῶν ἁπλῶν ἐκείνων ἀγγείων θρέψιν, ἀλλὰ καὶ κρῖναι τὴν μάχην αὐτῶν οὐκ ὠκνήσαμεν καὶ τιμῆσαι τὸν Ἐρασίστρατον εἰς τὴν βελτίονα μεταστήσαντες αἵρεσιν.

Αὖθις οὖν ἐπὶ τὴν ἓν ἁπλοῦν ἡνωμένον ἑαυτῷ πάντῃ τὸ στοιχειῶδες ἐκεῖνο νεῦρον ὑποτιθεμένην αἵρεσιν ὁ λόγος μεταβὰς ἐπισκοπείσθω, πῶς τραφήσεται· τὸ γὰρ εὑρεθὲν ἐνταῦθα κοινὸν ἂν ἤδη καὶ τῆς Ἱπποκράτους αἱρέσεως γένοιτο.

103 Κάλλιον δ' ἄν μοι δοκῶ τὸ ζητού|μενον ἐπὶ τῶν νενοσηκότων καὶ σφόδρα καταλελεπτυσμένων βασανισθῆναι. πάντα γὰρ τούτοις ἐναργῶς φαίνεται τὰ μόρια τοῦ σώματος ἄτροφα καὶ λεπτὰ καὶ πολλῆς προσθήκης τε καὶ ἀναθρέψεως δεόμενα. καὶ τοίνυν καὶ τὸ νεῦρον τοῦτο τὸ αἰσθητόν, ἐφ' οὗπερ ἐξ ἀρχῆς ἐποιησάμην τὸν λόγον, ἰσχνὸν μὲν ἱκανῶς γέγονε, δεῖται δὲ θρέψεως. ἔχει δ' ἐν ἑαυτῷ μέρη πάμπολλα μὲν ἐκεῖνα τὰ πρῶτα καὶ ἀόρατα νεῦρα τὰ σμικρὰ καί τινας ἀρτηρίας ἁπλᾶς ὀλίγας καὶ φλέβας ὁμοίως. ἅπαντ' οὖν αὐτοῦ τὰ νεῦρα τὰ στοιχειώδη καταλελέπτυνται δηλονότι καὶ αὐτά, ἤ, εἰ μηδ' ἐκεῖνα, οὐδὲ τὸ ὅλον. καὶ τοίνυν καὶ θρέψεως οὐ τὸ μὲν ὅλον δεῖται νεῦρον, ἕκαστον δ' ἐκείνων οὐ δεῖται. καὶ μὴν εἰ δεῖται μὲν ἀναθρέψεως, οὐδὲν δ' ἡ πρὸς τὸ κενούμενον ἀκολουθία

way? For, when we were at this point before, we drew attention to the disagreement among the Erasistrateans,[1] and we showed that the nutrition of these simple vessels was impracticable according to the teachings of both parties, although we did not hesitate to adjudicate in their quarrel and to do Erasistratus the honour of placing him in the better sect.[2]

Let our argument, then, be transferred again to the doctrine which assumes this *elementary nerve*[3] to be a single, simple, and entirely unified structure, and let us consider how it is to be nourished; for what is discovered here will at once be found to be common also to the school of Hippocrates.

It seems to me that our enquiry can be most rigorously pursued in subjects who are suffering from illness and have become very emaciated, since in these people all parts of the body are obviously atrophied and thin, and in need of additional substance and feeding-up; for the same reason the ordinary *perceptible* nerve, regarding which we originally began this discussion, has become thin, and requires nourishment. Now, this contains within itself various parts, namely, a great many of these primary, invisible, minute nerves, a few simple arteries, and similarly also veins. Thus, all its elementary nerves have themselves also obviously become emaciated; for, if they had not, neither would the nerve as a whole; and of course, in such a case, the whole nerve cannot require nourishment without each of these requiring it too. Now, if on the one hand they stand in need of feeding-up, and if on the

[1] *cf.* p. 153.

[2] On account of his idea of a simple tissue not susceptible of further analysis. [3] Or "cell"; *cf.* p. 153, note 2.

βοηθεῖν αὐτοῖς δύναται διά τε τὰς ἔμπροσθεν
εἰρημένας ἀπορίας καὶ διὰ τὴν ὑπόγυιον ἰσχνό-
τητα, καθάπερ δείξω, ζητητέον ἡμῖν ἐστιν ἑτέραν
αἰτίαν θρέψεως.

Πῶς οὖν ἡ πρὸς τὸ κενούμενον ἀκολουθία
τρέφειν ἀδύνατός ἐστι τὸν οὕτω διακείμενον;
104 ὅτι τοσοῦτον ἀκολουθεῖν || ἀναγκάζει τῶν συν-
εχῶν, ὅσον ἀπορρεῖ. τοῦτο δ' ἐπὶ μὲν τῶν
εὐεκτούντων ἱκανόν ἐστιν εἰς τὴν θρέψιν, ἴσα
γὰρ ἐπ' αὐτῶν εἶναι χρὴ τοῖς ἀπορρέουσι τὰ
προστιθέμενα· ἐπὶ δὲ τῶν ἐσχάτως ἰσχνῶν καὶ
πολλῆς ἀναθρέψεως δεομένων εἰ μὴ πολλαπλά-
σιον εἴη τὸ προστιθέμενον τοῦ κενουμένου, τὴν
ἐξ ἀρχῆς ἕξιν ἀναλαβεῖν οὐκ ἄν ποτε δύναιντο.
δῆλον οὖν, ὡς ἕλκειν αὐτὰ δεήσει τοσούτῳ
πλεῖον, ὅσῳ καὶ δεῖται πλείονος. Ἐρασίστρατος
δὲ κἀνταῦθα πρότερον ποιήσας τὸ δεύτερον οὐκ
οἶδ' ὅπως οὐκ αἰσθάνεται. διότι γάρ, φησί,
πολλὴ πρόσθεσις εἰς ἀνάθρεψιν γίγνεται τοῖς
νενοσηκόσι, διὰ τοῦτο καὶ ἡ πρὸς ταύτην ἀκολου-
θία πολλή. πῶς δ' ἂν πολλὴ πρόσθεσις γένοιτο
μὴ προηγουμένης ἀναδόσεως δαψιλοῦς; εἰ δὲ
τὴν διὰ τῶν φλεβῶν φορὰν τῆς τροφῆς ἀνάδοσιν
καλεῖ, τὴν δ' εἰς ἕκαστον τῶν ἁπλῶν καὶ ἀοράτων
ἐκείνων νεύρων καὶ ἀρτηριῶν μετάληψιν οὐκ
ἀνάδοσιν ἀλλὰ διάδοσιν, ὥς τινες ὀνομάζειν
105 ἠξίωσαν, εἶτα || τὴν διὰ τῶν φλεβῶν μόνῃ τῇ

---

[1] The *horror vacui*.

[2] *Prosthesis* of nutriment; *cf.* p. 39, note 6.

other the principle of the refilling of a vacuum[1] can give them no help—both by reason of the difficulties previously mentioned and the actual thinness, as I shall show—we must then seek another cause for nutrition.

How is it, then, that the tendency of a vacuum to become refilled is unable to afford nourishment to one in such a condition? Because its rule is that only so much of the contiguous matter should succeed as has flowed away. Now this is sufficient for nourishment in the case of those who are in good condition, for, in them, what is *presented*[2] must be equal to what has flowed away. But in the case of those who are very emaciated and who need a great restoration of nutrition, unless what was presented were many times greater than what has been emptied out, they would never be able to regain their original habit. It is clear, therefore, that these parts will have to exert a greater amount of *attraction*, in so far as their requirements are greater. And I fail to understand how Erasistratus does not perceive that here again he is putting the cart before the horse. Because, in the case of the sick, there must be a large amount of *presentation*[2] in order to feed them up, he argues that the factor of "refilling"[1] must play an equally large part. And how could much *presentation* take place if it were not preceded by an abundant *delivery*[3] of nutriment? And if he calls the conveyance of food through the veins delivery, and its assumption by each of these simple and visible nerves and arteries not delivery but *distribution*,[4] as some people have thought fit to name it, and then ascribes conveyance

[3] *Anadosis*, "absorption"; *cf.* p. 13, note 5. [4] Lit. *diadosis*.

*πρὸς τὸ κενούμενον ἀκολουθίᾳ φησὶ γίγνεσθαι, τὴν εἰς τὰ λόγῳ θεωρητὰ μετάληψιν ἡμῖν ἐξηγησάσθω. ὅτι μὲν γὰρ οὐκέτ' ἐπὶ τούτων ἡ πρὸς τὸ κενούμενον ἀκολουθία λέγεσθαι δύναται καὶ μάλιστ' ἐπὶ τῶν ἐσχάτως ἰσχνῶν, ἀποδέδεικται. τί δέ φησιν ἐπ' αὐτῶν ἐν τῷ δευτέρῳ τῶν καθόλου λόγων ὁ Ἐρασίστρατος, ἄξιον ἐπακοῦσαι τῆς λέξεως· "Τοῖς δ' ἐσχάτοις τε καὶ ἁπλοῖς, λεπτοῖς τε καὶ στενοῖς οὖσιν, ἐκ τῶν παρακειμένων ἀγγείων ἡ πρόσθεσις συμβαίνει εἰς τὰ κενώματα τῶν ἀπενεχθέντων κατὰ τὰ πλάγια τῶν ἀγγείων ἑλκομένης τῆς τροφῆς καὶ καταχωριζομένης." ἐκ ταύτης τῆς λέξεως πρῶτον μὲν τὸ κατὰ τὰ πλάγια προσίεμαί τε καὶ ἀποδέχομαι· κατὰ μὲν γὰρ αὐτὸ τὸ στόμα τὸ ἁπλοῦν νεῦρον οὐκ ἂν δύναιτο δεχόμενον τὴν τροφὴν οὕτως εἰς ὅλον ἑαυτὸ διανέμειν· ἀνάκειται γὰρ ἐκεῖνο τῷ ψυχικῷ πνεύματι· κατὰ δὲ τὸ πλάγιον ἐκ τῆς παρακειμένης φλεβὸς τῆς ἁπλῆς ἐγχωρεῖ λαβεῖν αὐτό. δεύτερον δ' ἀποδέχομαι τῶν ἐκ τῆς Ἐρασιστράτου λέξεως ὀνομάτων τὸ*
106 *γεγραμμένον ἐφεξῆς τῷ κατὰ τὰ πλάγια. ‖ τί γάρ φησι; "Κατὰ τὰ πλάγια τῶν ἀγγείων ἑλκομένης τῆς τροφῆς." ὅτι μὲν οὖν ἕλκεται, καὶ ἡμεῖς ὁμολογοῦμεν, ὅτι δ' οὐ τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, δέδεικται πρόσθεν.*

## VII

*Ἐξεύρωμεν οὖν κοινῇ, πῶς ἕλκεται. πῶς δ' ἄλλως ἢ ὡς ὁ σίδηρος ὑπὸ τῆς ἡρακλείας λίθου*

---

[1] *i.e.* let him explain the *diadosis*.

through the veins to the principle of vacuum-refilling alone, let him explain to us the assumption of food by the hypothetical elements.[1] For it has been shown that at least in relation to these there is no question of the refilling of a vacuum being in operation, and especially where the parts are very attenuated. It is worth while listening to what Erasistratus says about these cases in the second book of his "General Principles": "In the ultimate simple [vessels], which are thin and narrow, presentation takes place from the adjacent vessels, the nutriment being attracted through the sides of the vessels and deposited in the empty spaces left by the matter which has been carried away." Now, in this statement firstly I admit and accept the words "through the sides." For, if the simple nerve were actually to take in the food through its mouth, it could not distribute it through its whole substance; for the mouth is dedicated to the psychic pneuma.[2] It can, however, take it in through its sides from the adjacent simple vein. Secondly, I also accept in Erasistratus's statement the expression which precedes "through the sides." What does this say? "The nutriment being attracted through the sides of the vessels." Now I, too, agree that it is attracted, but it has been previously shown that this is not through the tendency of evacuated matter to be replaced.

## VII

Let us, then, consider together how it is attracted. How else than in the way that iron is attracted by

[2] "Spiritus animalis"; *cf.* p. 152, note 1. The nutriment was for the *walls* of the vessels, not for their cavities. *cf.* p. 319, note 3.

*δύναμιν ἐχούσης ἑλκτικὴν τοιαύτης ποιότητος; ἀλλ' εἰ τὴν μὲν ἀρχὴν τῆς ἀναδόσεως ἡ τῆς κοιλίας ἔνθλιψις παρέχεται, τὴν δὲ μετὰ ταῦτα φορὰν ἅπασαν αἵ τε φλέβες περιστελλόμεναι καὶ προωθοῦσαι καὶ τῶν τρεφομένων ἕκαστον ἐπισπώμενον εἰς ἑαυτό, τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ἀποστάντες, ὡς οὐ πρεπούσης ἀνδρὶ τεχνικὴν ὑποθεμένῳ τὴν φύσιν, οὕτως ἂν ἤδη καὶ τὴν ἀντιλογίαν εἴημεν πεφευγότες τὴν Ἀσκληπιάδου μὴ δυνάμενοί γε λύειν αὐτήν. τὸ γὰρ εἰς τὴν ἀπόδειξιν παραλαμβανόμενον λῆμμα τὸ διεζευγμένον οὐκ ἐκ δυοῖν ἀλλ' ἐκ τριῶν ἐστι κατά γε τὴν ἀλήθειαν διεζευγμένον. εἰ μὲν οὖν*
107 *ὡς ἐκ δυοῖν αὐτῷ χρη||σαίμεθα, ψεῦδος ἔσται τι τῶν εἰς τὴν ἀπόδειξιν παρειλημμένων· εἰ δ' ὡς ἐκ τριῶν, ἀπέραντος ὁ λόγος γενήσεται.*

## VIII

Καὶ *ταῦτ' οὐκ ἐχρῆν ἀγνοεῖν τὸν* Ἐρασίστρα*τον, εἴπερ κἂν ὄναρ ποτὲ τοῖς ἐκ τοῦ περιπάτου συνέτυχεν, ὥσπερ οὖν οὐδὲ τὰ περὶ τῆς γενέσεως τῶν χυμῶν, ὑπὲρ ὧν οὐδὲν ἔχων εἰπεῖν οὐδὲ μέχρι τοῦ μετρίου πιθανὸν οἴεται παρακρούεσθαι σκηπτόμενος, ὡς οὐδὲ χρήσιμος ὅλως ἐστὶν ἡ τῶν τοιούτων ἐπίσκεψις. εἶτ', ὦ πρὸς θεῶν, ὅπως μὲν τὰ σιτία κατὰ τὴν γαστέρα πέττεται χρήσιμον ἐπίστασθαι, πῶς δ' ἐν ταῖς φλεψὶν ἡ*

the lodestone, the latter having a faculty attractive of this particular quality [existing in iron]?[1] But if the beginning of anadosis depends on the squeezing action of the stomach,[2] and the whole movement thereafter on the peristalsis and propulsive action of the veins, as well as on the traction exerted by each of the parts which are undergoing nourishment, then we can abandon the principle of replacement of evacuated matter, as not being suitable for a man who assumes Nature to be a skilled artist; thus we shall also have avoided the contradiction of Asclepiades[3] though we cannot refute it: for the disjunctive argument used for the purposes of demonstration is, in reality, disjunctive not of two but of three alternatives; now, if we treat the disjunction as a disjunction of two alternatives, one of the two propositions assumed in constructing our proof must be false; and if as a disjunctive of three alternatives, no conclusion will be arrived at.

## VIII

Now Erasistratus ought not to have been ignorant of this if he had ever had anything to do with the Peripatetics—even in a dream. Nor, similarly, should he have been unacquainted with the genesis of the *humours*, about which, not having even anything moderately plausible to say, he thinks to deceive us by the excuse that the consideration of such matters is not the least useful. Then, in Heaven's name, is it useful to know how food is digested in the stomach, but unnecessary to know how *bile* comes into existence

[1] Specific attraction; *cf.* Book I., chap. xiv.
[2] *cf.* p. 100, note 2.
[3] In Book II., chap. i.

χολὴ γίγνεται, περιττόν; καὶ τῆς κενώσεως ἄρα φροντιστεον αὐτῆς μόνης, ἀμελητέον δὲ τῆς γενέσεως; ὥσπερ οὐκ ἄμεινον ὑπάρχον μακρῷ τὸ κωλύειν εὐθὺς ἐξ ἀρχῆς γεννᾶσθαι πλείονα τοῦ πράγματ᾽ ἔχειν ἐκκενοῦντας. θαυμαστὸν δὲ καὶ τὸ διαπορεῖν, εἴτ᾽ ἐν τῷ σώματι τὴν γένεσιν αὐτῆς ὑποθετέον εἴτ᾽ εὐθὺς ἔξωθεν ἐν τοῖς σιτίοις περιέχεσθαι φατέον. εἰ γὰρ δὴ τοῦτο καλῶς ἠπόρηται, τί οὐχὶ καὶ περὶ τοῦ αἵματος ἐπισκε-
108 ψόμεθα, πότερον ἐν τῷ σώματι ‖ λαμβάνει τὴν γένεσιν ἢ τοῖς σιτίοις παρέσπαρται, καθάπερ οἱ τὰς ὁμοιομερείας ὑποτιθέμενοί φασι; καὶ μὴν πολλῷ γ᾽ ἦν χρησιμώτερον ζητεῖσθαι, ποῖα τῶν σιτίων ὁμολογεῖ τῇ τῆς αἱματώσεως ἐνεργείᾳ καὶ ποῖα διαφέρεται, τοῦ ζητεῖν, τίνα μὲν τῇ τῆς γαστρὸς ἐνεργείᾳ νικᾶται ῥᾳδίως, τίνα δ᾽ ἀντιβαίνει καὶ μάχεται. τούτων μὲν γὰρ ἡ ἔκλεξις εἰς πέψιν μόνην, ἐκείνων δ᾽ εἰς αἵματος χρηστοῦ διαφέρει γένεσιν. οὐδὲ γὰρ ἴσον ἐστὶν ἢ μὴ καλῶς ἐν τῇ γαστρὶ χυλωθῆναι τὴν τροφὴν ἢ μὴ χρηστὸν αἷμα γεννηθῆναι. πῶς δ᾽ οὐκ αἰδεῖται τὰς μὲν τῆς πέψεως ἀποτυχίας διαιρούμενος, ὡς πολλαί τ᾽ εἰσὶ καὶ κατὰ πολλὰς γίγνονται προφάσεις, ὑπὲρ δὲ τῶν τῆς αἱματώσεως σφαλμάτων οὐδ᾽ ἄχρι ῥήματος ἑνὸς οὐδ᾽ ἄχρι συλλαβῆς μιᾶς φθεγξάμενος; καὶ μὴν εὑρίσκεταί γε καὶ παχὺ καὶ λεπτὸν ἐν ταῖς φλεψὶν αἷμα καὶ τοῖς μὲν ἐρυθρότερον, τοῖς δὲ ξανθότερον, τοῖς δὲ μελάντερον, τοῖς δὲ φλεγματωδέστερον. εἰ δ᾽ ὅτι

[1] Prevention better than cure.
[2] *e.g.* Anaxagoras; *cf.* p. 7, note 5; p. 20, note 3.
[3] Lit. *haematosis.* [4] *cf.* p. 174, note 4.

Yet neither Hippocrates nor any of the other physicians or philosophers whom I mentioned a short while ago thought it right to omit this; they say that when the heat which exists naturally in every animal is well blended and moderately moist it generates blood; for this reason they also say that the blood is a *virtually* warm and moist humour, and similarly also that yellow bile is warm and dry, even though for the most part it appears moist. (For in them the *apparently* dry would seem to differ from the *virtually* dry.) Who does not know that brine and sea-water preserve meat and keep it uncorrupted,[1] whilst all other water—the drinkable kind—readily spoils and rots it? And who does not know that when yellow bile is contained in large quantity in the stomach, we are troubled with an unquenchable thirst, and that when we vomit this up, we at once become much freer from thirst than if we had drunk very large quantities of fluid? Therefore this humour has been very properly termed warm, and also virtually dry. And, similarly, *phlegm* has been called cold and moist; for about this also clear proofs have been given by Hippocrates and the other Ancients.

Prodicus[2] also, when in his book "On the Nature of Man" he gives the name "phlegm" (from the verb πεφλέχθαι) to that element in the humours which has been burned or, as it were, over-roasted, while using

[1] Lit. *aseptic.*
[2] Prodicus of Ceos, a Sophist, contemporary of Socrates.

μέντοι τὸ πρᾶγμα κατὰ ταὐτὸ τοῖς ἄλλοις. τὴν δ' ἐν τοῖς ὀνόμασι τἀνδρὸς τούτου καινοτομίαν ἱκανῶς ἐνδείκνυται καὶ Πλάτων. ἀλλὰ τοῦτό γε τὸ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζόμενον φλέγμα τὸ λευκὸν τὴν χρόαν, ὃ βλένναν ὀνομάζει Πρόδικος, ὁ ψυχρὸς καὶ ὑγρὸς χυμός ἐστιν οὗτος καὶ πλεῖστος τοῖς τε γέρουσι καὶ τοῖς ὁπωσδήποτε ψυγεῖσιν ἀθροίζεται καὶ οὐδεὶς οὐδὲ μαινόμενος ἂν ἄλλο τι ἢ ψυχρὸν καὶ ὑγρὸν εἴποι ἂν αὐτόν.

Ἆρ' οὖν θερμὸς μέν τίς ἐστι καὶ ὑγρὸς χυμὸς καὶ θερμὸς καὶ ξηρὸς ἕτερος καὶ ὑγρὸς καὶ ψυχρὸς ἄλλος, οὐδεὶς δ' ἐστὶ ψυχρὸς καὶ ξηρὸς τὴν δύναμιν, ἀλλ' ἡ τετάρτη συζυγία τῶν κρά-
131 σεων ‖ ἐν ἅπασι τοῖς ἄλλοις ὑπάρχουσα μόνοις τοῖς χυμοῖς οὐχ ὑπάρχει; καὶ μὴν ἥ γε μέλαινα χολὴ τοιοῦτός ἐστι χυμός, ὃν οἱ σωφρονοῦντες ἰατροὶ καὶ φιλόσοφοι πλεονεκτεῖν ἔφασαν τῶν μὲν ὡρῶν τοῦ ἔτους ἐν φθινοπώρῳ μάλιστα, τῶν δ' ἡλικιῶν ἐν ταῖς μετὰ τὴν ἀκμήν. οὕτω δὲ καὶ διαιτήματα καὶ χωρία καὶ καταστάσεις καὶ νόσους τινὰς ψυχρὰς καὶ ξηρὰς εἶναί φασιν· οὐ γὰρ δὴ χωλὴν ἐν ταύτῃ μόνῃ τῇ συζυγίᾳ τὴν φύσιν εἶναι νομίζουσιν ἀλλ' ὥσπερ τὰς ἄλλας τρεῖς οὕτω καὶ τήνδε διὰ πάντων ἐκτετάσθαι.

Ηὐξάμην οὖν κἀνταῦθ' ἐρωτῆσαι δύνασθαι τὸν Ἐρασίστρατον, εἰ μηδὲν ὄργανον ἡ τεχνικὴ φύσις ἐδημιούργησε καθαρτικὸν τοῦ τοιούτου χυμοῦ, ἀλλὰ τῶν μὲν οὔρων ἄρα τῆς διακρίσεώς ἐστιν ὄργανα δύο καὶ τῆς ξανθῆς χολῆς ἕτερον οὐ

a different terminology, still keeps to the fact just as the others do; this man's innovations in nomenclature have also been amply done justice to by Plato.[1] Thus, the white-coloured substance which everyone else calls *phlegm*, and which Prodicus calls *blenna* [mucus],[2] is the well-known cold, moist humour which collects mostly in old people and in those who have been chilled[3] in some way, and not even a lunatic could say that this was anything else than cold and moist.

If, then, there is a warm and moist humour, and another which is warm and dry, and yet another which is moist and cold, is there none which is virtually *cold and dry*? Is the fourth combination of temperaments, which exists in all other things, non-existent in the humours alone? No; the *black bile* is such a humour. This, according to intelligent physicians and philosophers, tends to be in excess, as regards seasons, mainly in the fall of the year, and, as regards ages, mainly after the prime of life. And, similarly, also they say that there are cold and dry modes of life, regions, constitutions, and diseases. Nature, they suppose, is not defective in this single combination; like the three other combinations, it extends everywhere.

At this point, also, I would gladly have been able to ask Erasistratus whether his "artistic" Nature has not constructed any organ for *clearing away* a humour such as this. For whilst there are two organs for the excretion of urine, and another of considerable size for that of yellow bile, does the

[1] Plato, *Timaeus*, 83–86, *passim*.

[2] *cf.* the term *blennorrhoea*, which is still used.

[3] *cf.* the Scotch term "colded" for "affected with a cold"; Germ. *erkältet*.

σμικρόν, ὁ δὲ τούτων κακοηθέστερος χυμὸς
ἀλᾶται διὰ παντὸς ἐν ταῖς φλεψὶν ἀναμεμιγ-
μένος τῷ αἵματι. καίτοι "Δυσεντερίη," φησί
που Ἱπποκράτης, "ἢν ἀπὸ χολῆς μελαίνης ἄρξη-
132 ται, θανάσιμον," οὐ μὴν ἥ γ' ἀπὸ τῆς ξαν‖θῆς
χολῆς ἀρχομένη πάντως ὀλέθριος, ἀλλ' οἱ πλείους
ἐξ αὐτῆς διασῴζονται. τοσούτῳ κακοηθεστέρα
τε καὶ δριμυτέρα τὴν δύναμιν ἡ μέλαινα χολὴ
τῆς ξανθῆς ἐστιν. ἆρ' οὖν οὔτε τῶν ἄλλων
ἀνέγνω τι τῶν τοῦ Ἱπποκράτους γραμμάτων ὁ
Ἐρασίστρατος οὐδὲν οὔτε τὸ περὶ φύσεως ἀνθρώ-
που βιβλίον, ἵν' οὕτως ἀργῶς παρέλθοι τὴν περὶ
τῶν χυμῶν ἐπίσκεψιν, ἢ γιγνώσκει μέν, ἑκὼν
δὲ παραλείπει καλλίστην τῆς τέχνης θεωρίαν;
ἐχρῆν οὖν αὐτὸν μηδὲ περὶ τοῦ σπληνὸς εἰρη-
κέναι τι μηδ' ἀσχημονεῖν ὑπὸ τῆς τεχνικῆς φύ-
σεως ὄργανον τηλικοῦτον μάτην ἡγούμενον κατε-
σκευάσθαι. καὶ μὴν οὐχ Ἱπποκράτης μόνον
ἢ Πλάτων, οὐδέν τι χείρους Ἐρασιστράτου περὶ
φύσιν ἄνδρες, ἕν τι τῶν καθαιρόντων τὸ αἷμα
καὶ τοῦτ' εἶναί φασι τὸ σπλάγχνον, ἀλλὰ καὶ
μυρίοι σὺν αὐτοῖς ἄλλοι τῶν παλαιῶν ἰατρῶν
τε καὶ φιλοσόφων, ὧν ἁπάντων προσποιησάμενος
ὑπερφρονεῖν ὁ γενναῖος Ἐρασίστρατος οὔτ' ἀν-
τεῖπεν οὔθ' ὅλως τῆς δόξης αὐτῶν ἐμνημόνευσε.
καὶ μὴν ὅσοις γε τὸ σῶμα θάλλει, τούτοις ὁ
σπλὴν φθίνει, φησὶν Ἱπποκράτης, καὶ οἱ ἀπὸ
133 τῆς ‖ ἐμπειρίας ὁρμώμενοι πάντες ὁμολογοῦσιν
ἰατροί. καὶ ὅσοις γ' αὖ μέγας καὶ ὕπουλος

humour which is more pernicious than these wander about persistently in the veins mingled with the blood? Yet Hippocrates says, "Dysentery is a fatal condition if it proceeds from black bile"; while that proceeding from yellow bile is by no means deadly, and most people recover from it; this proves how much more pernicious and acrid in its potentialities is black than yellow bile. Has Erasistratus, then, not read the book, "On the Nature of Man," any more than any of the rest of Hippocrates's writings, that he so carelessly passes over the consideration of the humours? Or, does he know it, and yet voluntarily neglect one of the finest studies[1] in medicine? Thus he ought not to have said anything about the *spleen*,[2] nor have stultified himself by holding that an artistic Nature would have prepared so large an organ for no purpose. As a matter of fact, not only Hippocrates and Plato—who are no less authorities on Nature than is Erasistratus—say that this viscus also is one of those which cleanse the blood, but there are thousands of the ancient physicians and philosophers as well who are in agreement with them. Now, all of these the high and mighty Erasistratus affected to despise, and he neither contradicted them nor even so much as mentioned their opinion. Hippocrates, indeed, says that the spleen wastes in those people in whom the body is in good condition, and all those physicians also who base themselves on experience[3] agree with this. Again, in those cases in which the spleen is large and is increasing from

[1] The word *theória* used here is not the same as our *theory*. It is rather a "contemplation," the process by which a theory is arrived at. *cf.* p. 226, note 2.

[2] Erasistratus on the uselessness of the spleen. *cf.* p. 143.

[3] The Empirical school. *cf.* p. 193.

*αὐξάνεται, τούτοις καταφθείρει τε καὶ κακόχυμα τὰ σώματα τίθησιν, ὡς καὶ τοῦτο πάλιν οὐχ Ἱπποκράτης μόνον ἀλλὰ καὶ Πλάτων ἄλλοι τε πολλοὶ καὶ οἱ ἀπὸ τῆς ἐμπειρίας ὁμολογοῦσιν ἰατροί. καὶ οἱ ἀπὸ σπληνὸς δὲ κακοπραγοῦντος ἴκτεροι μελάντεροι καὶ τῶν ἑλκῶν αἱ οὐλαὶ μέλαιναι. καθόλου γάρ, ὅταν ἐνδεέστερον ἢ προσῆκεν εἰς ἑαυτὸν ἕλκῃ τὸν μελαγχολικὸν χυμόν, ἀκάθαρτον μὲν τὸ αἷμα, κακόχρουν δὲ τὸ πᾶν γίγνεται σῶμα. πότε δ' ἐνδεέστερον ἕλκει; ἢ δῆλον ὅτι κακῶς διακείμενος; ὥσπερ οὖν τοῖς νεφροῖς ἐνεργείας οὔσης ἕλκειν τὰ οὖρα κακῶς ἕλκειν ὑπάρχει κακοπραγοῦσιν, οὕτω καὶ τῷ σπληνὶ ποιότητος μελαγχολικῆς ἑλκτικὴν ἐν ἑαυτῷ δύναμιν ἔχοντι σύμφυτον ἀρρωστήσαντί ποτε ταύτην ἀναγκαῖον ἕλκειν κακῶς κἂν τῷδε παχύτερον ἤδη καὶ μελάντερον γίγνεσθαι τὸ αἷμα.*

*Ταῦτ' οὖν ἅπαντα πρός τε τὰς διαγνώσεις τῶν νοσημάτων καὶ τὰς ἰάσεις μεγίστην παρεχό-*
134 *μενα χρείαν || ὑπερεπήδησε τελέως ὁ Ἐρασίστρατος καὶ καταφρονεῖν προσεποιήσατο τηλικούτων ἀνδρῶν ὁ μηδὲ τῶν τυχόντων καταφρονῶν ἀλλ' ἀεὶ φιλοτίμως ἀντιλέγων ταῖς ἠλιθιωτάταις δόξαις. ᾧ καὶ δῆλον, ὡς οὐδὲν ἔχων οὔτ' ἀντειπεῖν τοῖς πρεσβυτέροις ὑπὲρ ὧν ἀπεφήναντο περὶ σπληνὸς ἐνεργείας τε καὶ χρείας οὔτ' αὐτὸς ἐξευρίσκων τι καινὸν εἰς τὸ μηδὲν ὅλως εἰπεῖν ἀφίκετο. ἀλλ' ἡμεῖς γε πρῶτον μὲν ἐκ τῶν αἰτίων, οἷς ἅπαντα διοικεῖται τὰ κατὰ τὰς*

[1] Enlargement and suppuration (?) of spleen associated with toxaemia or "cacochymy." [2] Lit. "melancholic."

internal suppuration, it destroys the body and fills it with evil humours;[1] this again is agreed on, not only by Hippocrates, but also by Plato and many others, including the Empiric physicians. And the jaundice which occurs when the spleen is out of order is darker in colour, and the cicatrices of ulcers are dark. For, generally speaking, when the spleen is drawing the atrabiliary[2] humour into itself to a less degree than is proper, the blood is unpurified, and the whole body takes on a bad colour. And when does it draw this in to a less degree than proper? Obviously, when it [the spleen] is in a bad condition. Thus, just as the kidneys, whose function it is to attract the urine, do this badly when they are out of order, so also the spleen, which has in itself a native power of attracting an atrabiliary quality,[3] if it ever happens to be weak, must necessarily exercise this attraction badly, with the result that the blood becomes thicker and darker.

Now all these points, affording as they do the greatest help in the diagnosis and in the cure of disease were entirely passed over by Erasistratus, and he pretended to despise these great men—he who does not despise ordinary people, but always jealously attacks the most absurd doctrines. Hence, it was clearly because he had nothing to say against the statements made by the ancients regarding the function and utility of the spleen, and also because he could discover nothing new himself, that he ended by saying nothing at all. I, however, for my part, have demonstrated, firstly from the *causes* by which everything throughout nature is governed (by

[3] *i.e.* the combination of sensible qualities which we call black bile. *cf.* p. 8, note 3.

φύσεις, τοῦ θερμοῦ λέγω καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, δεύτερον δ' ἐξ αὐτῶν τῶν ἐναργῶς φαινομένων κατὰ τὸ σῶμα ψυχρὸν καὶ ξηρὸν εἶναί τινα χρῆναι χυμὸν ἀπεδείξαμεν. ἑξῆς δ', ὅτι καὶ μελαγχολικὸς οὗτος ὑπάρχει καὶ τὸ καθαῖρον αὐτὸν σπλάγχνον ὁ σπλήν ἐστιν, διὰ βραχέων ὡς ἔνι μάλιστα τῶν τοῖς παλαιοῖς ἀποδεδειγμένων ἀναμνήσαντες ἐπὶ τὸ λεῖπον ἔτι τοῖς παροῦσι λόγοις ἀφιξόμεθα.

Τί δ' ἂν εἴη λεῖπον ἄλλο γ' ἢ ἐξηγήσασθαι
135 σαφῶς, οἷόν τι βούλονταί τε ‖ καὶ ἀποδεικνύουσι περὶ τὴν τῶν χυμῶν γένεσιν οἱ παλαιοὶ συμβαίνειν. ἐναργέστερον δ' ἂν γνωσθείη διὰ παραδείγματος. οἶνον δή μοι νόει γλεύκινον οὐ πρὸ πολλοῦ τῶν σταφυλῶν ἐκτεθλιμμένον ζέοντά τε καὶ ἀλλοιούμενον ὑπὸ τῆς ἐν αὐτῷ θερμασίας· ἔπειτα κατὰ τὴν αὐτοῦ μεταβολὴν δύο γεννώμενα περιττώματα τὸ μὲν κουφότερόν τε καὶ ἀερωδέστερον, τὸ δὲ βαρύτερόν τε καὶ γεωδέστερον, ὧν τὸ μὲν ἄνθος, οἶμαι, τὸ δὲ τρύγα καλοῦσι. τούτων τῷ μὲν ἑτέρῳ τὴν ξανθὴν χολήν, τῷ δ' ἑτέρῳ τὴν μέλαιναν εἰκάζων οὐκ ἂν ἁμάρτοις, οὐ τὴν αὐτὴν ἐχόντων ἰδέαν τῶν χυμῶν τούτων ἐν τῷ κατὰ φύσιν διοικεῖσθαι τὸ ζῷον, οἵαν καὶ παρὰ φύσιν ἔχοντος ἐπιφαίνονται πολλάκις. ἡ μὲν γὰρ ξανθὴ λεκιθώδης γίγνεται· καὶ γὰρ ὀνομάζουσιν οὕτως αὐτήν, ὅτι ταῖς τῶν ᾠῶν λεκίθοις ὁμοιοῦται κατά τε χρόαν καὶ πάχος. ἡ δ' αὖ μέλαινα κακοηθέστερα μὲν πολὺ καὶ

the causes I mean the Warm, Cold, Dry and Moist) and secondly, from obvious bodily phenomena, that there must needs be a cold and dry humour.[1] And having in the next place drawn attention to the fact that this humour is black bile [atrabiliary] and that the viscus which clears it away is the spleen—having pointed this out by help of as few as possible of the proofs given by ancient writers, I shall now proceed to what remains of the subject in hand.

What else, then, remains but to explain clearly what it is that happens in the generation of the humours, according to the belief and demonstration of the Ancients? This will be more clearly understood from a comparison. Imagine, then, some new wine which has been not long ago pressed from the grape, and which is fermenting and undergoing *alteration* through the agency of its contained heat.[2] Imagine next two residual substances produced during this process of alteration, the one tending to be light and air-like and the other to be heavy and more of the nature of earth; of these the one, as I understand, they call the *flower* and the other the *lees*. Now you may correctly compare yellow bile to the first of these, and black bile to the latter, although these humours have not the same appearance when the animal is in normal health as that which they often show when it is not so; for then the yellow bile becomes *vitelline*,[3] being so termed because it becomes like the yolk of an egg, both in colour and density; and again, even the black bile itself becomes much more malignant than when in

[1] Thus Galen has demonstrated the functions of the spleen both deductively and inductively. For another example of the combined method *cf.* Book III., chaps. i. and ii.; *cf.* also Introd. p. xxxii. [2] *i.e.* its innate heat. [3] Lit. *lecithoid.*

αὕτη τῆς κατὰ φύσιν· ὄνομα δ' οὐδὲν ἴδιον κεῖται τῷ τοιούτῳ χυμῷ, πλὴν εἴ πού τινες ἢ ξυστικὸν ἢ ὀξώδη κεκλήκασιν αὐτόν, ὅτι καὶ δριμὺς ὁμοίως
136 ὄξει γίγνεται καὶ || ξύει γε τὸ σῶμα τοῦ ζῴου καὶ τὴν γῆν, εἰ κατ' αὐτῆς ἐκχυθείη, καί τινα μετὰ πομφολύγων οἷον ζύμωσίν τε καὶ ζέσιν ἐργάζεται, σηπεδόνος ἐπικτήτου προσελθούσης ἐκείνῳ τῷ κατὰ φύσιν ἔχοντι χυμῷ τῷ μέλανι. καί μοι δοκοῦσιν οἱ πλεῖστοι τῶν παλαιῶν ἰατρῶν αὐτὸ μὲν τὸ κατὰ φύσιν ἔχον τοῦ τοιούτου χυμοῦ καὶ διαχωροῦν κάτω καὶ πολλάκις ἐπιπολάζον ἄνω μέλανα καλεῖν χυμόν, οὐ μέλαιναν χολήν, τὸ δ' ἐκ συγκαύσεώς τινος καὶ σηπεδόνος εἰς τὴν ὀξεῖαν μεθιστάμενον ποιότητα μέλαιναν ὀνομάζειν χολήν. ἀλλὰ περὶ μὲν τῶν ὀνομάτων οὐ χρὴ διαφέρεσθαι, τὸ δ' ἀληθὲς ὧδ' ἔχον εἰδέναι.

Κατὰ τὴν τοῦ αἵματος γένεσιν ὅσον ἂν ἱκανῶς παχὺ καὶ γεῶδες ἐκ τῆς τῶν σιτίων φύσεως ἐμφερόμενον τῇ τροφῇ μὴ δέξηται καλῶς τὴν ἐκ τῆς ἐμφύτου θερμασίας ἀλλοίωσιν, ὁ σπλὴν εἰς ἑαυτὸν ἕλκει τοῦτο. τὸ δ' ὀπτηθέν, ὡς ἂν τις εἴποι, καὶ συγκαυθὲν τῆς τροφῆς, εἴη δ' ἂν τοῦτο τὸ θερμότατον ἐν αὐτῇ καὶ γλυκύτατον, οἷον τό τε μέλι καὶ ἡ πιμελή, ξανθὴ γενόμενον χολὴ διὰ τῶν χοληδόχων ὀνομαζομένων ἀγγείων
137 ἐκκαθαίρεται. || λεπτὸν δ' ἐστὶ τοῦτο καὶ ὑγρὸν καὶ ῥυτὸν οὐχ ὥσπερ ὅταν ὀπτηθὲν ἐσχάτως ξανθὸν καὶ πυρῶδες καὶ παχὺ γένηται ταῖς τῶν

[1] Note that there can be "normal" black bile.

[2] The term *food* here means the food as introduced into the stomach; the term *nutriment* (*trophé*) means the same

its normal condition,[1] but no particular name has been given to [such a condition of] the humour, except that some people have called it *corrosive* or *acetose,* because it also becomes sharp like vinegar and corrodes the animal's body—as also the earth, if it be poured out upon it—and it produces a kind of fermentation and seething, accompanied by bubbles—an abnormal putrefaction having become added to the natural condition of the black humour. It seems to me also that most of the ancient physicians give the name *black humour* and not *black bile* to the normal portion of this humour, which is discharged from the bowel and which also frequently rises to the top [of the stomach-contents]; and they call *black bile* that part which, through a kind of combustion and putrefaction, has had its quality changed to acid. There is no need, however, to dispute about names, but we must realise the facts, which are as follow :—

In the genesis of blood, everything in the nutriment[2] which belongs naturally to the thick and earth-like part of the food,[2] and which does not take on well the alteration produced by the innate heat—all this the spleen draws into itself. On the other hand, that part of the nutriment which is roasted, so to speak, or burnt (this will be the warmest and sweetest part of it, like honey and fat), becomes *yellow bile,* and is cleared away through the so-called biliary[3] vessels; now, this is thin, moist, and fluid, not like what it is when, having been roasted to an *excessive* degree, it becomes yellow, fiery, and thick, like the yolk of

food in the digested condition, as it is conveyed to the tissues. *cf.* pp. 41–43. Note idea of imperfectly oxidized material being absorbed by the spleen. *cf.* p. 214, note 1.

[3] Lit. *choledochous,* bile-receiving.

ὠῶν ὅμοιον λεκίθοις. τοῦτο μὲν γὰρ ἤδη παρὰ φύσιν· θάτερον δὲ τὸ πρότερον εἰρημένον κατὰ φύσιν ἐστίν· ὥσπερ γε καὶ τοῦ μέλανος χυμοῦ τὸ μὲν μήπω τὴν οἷον ζέσιν τε καὶ ζύμωσιν τῆς γῆς ἐργαζόμενον κατὰ φύσιν ἐστί, τὸ δ' εἰς τοιαύτην μεθιστάμενον ἰδέαν τε καὶ δύναμιν ἤδη παρὰ φύσιν, ὡς ἂν τὴν ἐκ τῆς συγκαύσεως τοῦ παρὰ φύσιν θερμοῦ προσειληφὸς δριμύτητα καὶ οἷον τέφρα τις ἤδη γεγονός. ὧδέ πως καὶ ἡ κεκαυμένη τρὺξ τῆς ἀκαύστου διήνεγκε. θερμὸν γάρ τι χρῆμα αὕτη γ' ἱκανῶς ἐστιν, ὥστε καίειν τε καὶ τήκειν καὶ διαφθείρειν τὴν σάρκα. τῇ δ' ἑτέρᾳ τῇ μήπω κεκαυμένῃ τοὺς ἰατροὺς ἔστιν εὑρεῖν χρωμένους εἰς ὅσαπερ καὶ τῇ γῇ τῇ καλουμένῃ κεραμίτιδι καὶ τοῖς ἄλλοις, ὅσα ξηραίνειν θ' ἅμα καὶ ψύχειν πέφυκεν.

Εἰς τὴν τῆς οὕτω συγκαυθείσης μελαίνης χολῆς ἰδέαν καὶ ἡ λεκιθώδης ἐκείνη μεθίσταται πολλάκις, ὅταν καὶ αὐτή ποθ' οἷον ὀπτηθεῖσα
138 τύχῃ πυρώδει θερμασίᾳ. τὰ δ' ἄλλα ‖ τῶν χολῶν εἴδη σύμπαντα τὰ μὲν ἐκ τῆς τῶν εἰρημένων κράσεως γίγνεται, τὰ δ' οἷον ὁδοί τινές εἰσι τῆς τούτων γενέσεώς τε καὶ εἰς ἄλληλα μεταβολῆς. διαφέρουσι δὲ τῷ τὰς μὲν ἀκράτους εἶναι καὶ μόνας, τὰ δ' οἷον ὀρροῖς τισιν ἐξυγρασμένας. ἀλλ' οἱ μὲν ὀρροὶ τῶν χυμῶν ἅπαντες περιττώματα καὶ καθαρὸν αὐτῶν εἶναι δεῖται τοῦ ζῴου τὸ σῶμα. τῶν δ' εἰρημένων χυμῶν ἐστί τις χρεία τῇ φύσει καὶ τοῦ παχέος καὶ τοῦ λεπτοῦ καὶ καθαίρεται πρός τε τοῦ σπληνὸς καὶ τῆς ἐπὶ τῷ ἥπατι κύστεως τὸ αἷμα καὶ ἀποτίθεται τοσοῦτόν τε καὶ τοιοῦτον ἑκατέρου μέρος, ὅσον καὶ οἷον, εἴπερ εἰς

eggs; for this latter is already abnormal, while the previously mentioned state is natural. Similarly with the black humour: that which does not yet produce, as I say, this seething and fermentation on the ground, is natural, while that which has taken over this character and faculty is unnatural; it has assumed an acridity owing to the combustion caused by abnormal heat, and has practically become transformed into ashes.[1] In somewhat the same way burned lees differ from unburned. The former is a warm substance, able to burn, dissolve, and destroy the flesh. The other kind, which has not yet undergone combustion, one may find the physicians employing for the same purposes that one uses the so-called *potter's earth* and other substances which have naturally a combined drying and chilling action.

Now the vitelline bile also may take on the appearance of this combusted black bile, if ever it chance to be roasted, so to say, by fiery heat. And all the other forms of bile are produced, some from a blending of those mentioned, others being, as it were, transition-stages in the genesis of these or in their conversion into one another. And they differ in that those first mentioned are unmixed and unique, while the latter forms are diluted with various kinds of *serum*. And all the serums in the humours are waste substances, and the animal body needs to be purified from them. There is, however, a natural use for the humours first mentioned, both thick and thin; the blood is purified both by the spleen and by the bladder beside the liver, and a part of each of the two humours is put away, of such quantity and

[1] Thus *over-roasting*—shall we say excessive *oxidation*?—produces the abnormal forms of both black and yellow bile.

ὅλον ἠνέχθη τοῦ ζῴου τὸ σῶμα, βλάβην ἄν τιν εἰργάσατο. τὸ γὰρ ἱκανῶς παχὺ καὶ γεῶδες καὶ τελέως διαπεφευγὸς τὴν ἐν τῷ ἥπατι μεταβολὴν ὁ σπλὴν εἰς ἑαυτὸν ἕλκει· τὸ δ' ἄλλο τὸ μετρίως παχὺ σὺν τῷ κατειργάσθαι πάντῃ φέρεται. δεῖται γὰρ ἐν πολλοῖς τοῦ ζῴου μορίοις παχύτητός τινος
139 τὸ αἷμα καθάπερ οἶμαι καὶ τῶν || ἐμφερομένων ἰνῶν. καὶ εἴρηται μὲν καὶ Πλάτωνι περὶ τῆς χρείας αὐτῶν, εἰρήσεται δὲ καὶ ἡμῖν ἐν ἐκείνοις τοῖς γράμμασιν, ἐν οἷς ἂν τὰς χρείας τῶν μορίων διερχώμεθα· δεῖται δ' οὐχ ἥκιστα καὶ τοῦ ξανθοῦ χυμοῦ τοῦ μήπω πυρώδους ἐσχάτως γεγενημένου τὸ αἷμα καὶ τίς αὐτῷ καὶ ἡ παρὰ τοῦδε χρεία, δι' ἐκείνων εἰρήσεται.

Φλέγματος δ' οὐδὲν ἐποίησεν ἡ φύσις ὄργανον καθαρτικόν, ὅτι ψυχρὸν καὶ ὑγρόν ἐστι καὶ οἷον ἡμίπεπτός τις τροφή. δεῖται τοίνυν οὐ κενοῦσθαι τὸ τοιοῦτον ἀλλ' ἐν τῷ σώματι μένον ἀλλοιοῦσθαι. τὸ δ' ἐξ ἐγκεφάλου καταρρέον περίττωμα τάχα μὲν ἂν οὐδὲ φλέγμα τις ὀρθῶς ἀλλὰ βλένναν τε καὶ κόρυζαν, ὥσπερ οὖν καὶ ὀνομάζεται, καλοίη. εἰ δὲ μή, ἀλλ' ὅτι γε τῆς τούτου κενώσεως ὀρθῶς ἡ φύσις προὐνοήσατο, καὶ τοῦτ' ἐν τοῖς περὶ χρείας μορίων εἰρήσεται. καὶ γὰρ οὖν καὶ τὸ κατά τε τὴν γαστέρα καὶ τὰ ἔντερα συνιστάμενον φλέγμα ὅπως ἂν ἐκκενωθῇ καὶ αὐτὸ τάχιστά τε καὶ κάλλιστα, τὸ παρεσκευασμένον τῇ φύσει μηχάνημα δι' ἐκείνων εἰρήσεται καὶ αὐτὸ τῶν

---

[1] *cf.* p. 277, note 2.

[2] *Timaeus*, 82 C–D.

[3] *cf.* p. 90, note 1. The term "catarrh" refers to this "running down," which was supposed to take place through

quality that, if it were carried all over the body, it would do a certain amount of harm. For that which is decidedly thick and earthy in nature, and has entirely escaped alteration in the liver, is drawn by the spleen into itself[1]; the other part which is only moderately thick, after being elaborated [in the liver], is carried all over the body. For the blood in many parts of the body has need of a certain amount of thickening, as also, I take it, of the *fibres* which it contains. And the use of these has been discussed by Plato,[2] and it will also be discussed by me in such of my treatises as may deal with the use of parts. And the blood also needs, not least, the yellow humour, which has as yet not reached the extreme stage of combustion; in the treatises mentioned it will be pointed out what purpose is subserved by this.

Now Nature has made no organ for clearing away *phlegm*, this being cold and moist, and, as it were, half-digested nutriment; such a substance, therefore, does not need to be evacuated, but remains in the body and undergoes *alteration* there. And perhaps one cannot properly give the name of *phlegm* to the surplus-substance which runs down from the brain,[3] but one should call it *mucus* [blenna] or *coryza*—as, in fact, it is actually termed; in any case it will be pointed out, in the treatise "On the Use of Parts," how Nature has provided for the evacuation of this substance. Further, the device provided by Nature which ensures that the phlegm which forms in the stomach and intestines may be evacuated in the most rapid and effective way possible—this also will be described in that com-

the pores of the cribriform plate of the ethmoid into the nose.

140 ὑπομνη||μάτων. ὅσον οὖν ἐμφέρεται ταῖς φλεψὶ φλέγμα χρήσιμον ὑπάρχον τοῖς ζῴοις, οὐδεμιᾶς δεῖται κενώσεως. προσέχειν δὲ χρὴ κἀνταῦθα τὸν νοῦν καὶ γιγνώσκειν, ὥσπερ τῶν χολῶν ἑκατέρας τὸ μέν τι χρήσιμόν ἐστι καὶ κατὰ φύσιν τοῖς ζῴοις, τὸ δ' ἄχρηστόν τε καὶ παρὰ φύσιν, οὕτω καὶ τοῦ φλέγματος, ὅσον μὲν ἂν ᾖ γλυκύ, χρηστὸν εἶναι τοῦτο τῷ ζῴῳ καὶ κατὰ φύσιν, ὅσον δ' ὀξὺ καὶ ἁλμυρὸν ἐγένετο, τὸ μὲν ὀξὺ τελέως ἠπεπτῆσθαι, τὸ δ' ἁλμυρὸν διασεσῆφθαι. τελείαν δ' ἀπεψίαν φλέγματος ἀκούειν χρὴ τὴν τῆς δευτέρας πέψεως δηλονότι τῆς ἐν φλεψίν· οὐ γὰρ δὴ τῆς γε πρώτης τῆς κατὰ τὴν κοιλίαν· ἢ οὐδ' ἂν ἐγεγένητο τὴν ἀρχὴν χυμός, εἰ καὶ ταύτην διεπεφεύγει.

Ταῦτ' ἀρκεῖν μοι δοκεῖ περὶ γενέσεώς τε καὶ διαφθορᾶς χυμῶν ὑπομνήματ' εἶναι τῶν Ἱπποκράτει τε καὶ Πλάτωνι καὶ Ἀριστοτέλει καὶ Πραξαγόρᾳ καὶ Διοκλεῖ καὶ πολλοῖς ἄλλοις τῶν παλαιῶν εἰρημένων· οὐ γὰρ ἐδικαίωσα πάντα μεταφέρειν εἰς τόνδε τὸν λόγον τὰ τελέως ἐκείνοις γεγραμμένα. τοσοῦτον δὲ μόνον ὑπὲρ ἑκάστου
141 εἶπον, ὅσον ἐξορμήσει τε τοὺς || ἐντυγχάνοντας, εἰ μὴ παντάπασιν εἶεν σκαιοί, τοῖς τῶν παλαιῶν ὁμιλῆσαι γράμμασι καὶ τὴν εἰς τὸ ῥᾷον αὐτοῖς συνεῖναι βοήθειαν παρέξει. γέγραπται δέ που καὶ δι' ἑτέρου λόγου περὶ τῶν κατὰ Πραξαγόραν τὸν Νικάρχου χυμῶν. εἰ γὰρ καὶ ὅτι μάλιστα

mentary. As to that portion of the phlegm which is carried in the veins, seeing that this is of service to the animal it requires no evacuation. Here too, then, we must pay attention and recognise that, just as in the case of each of the two kinds of bile, there is one part which is useful to the animal and in accordance with its nature, while the other part is useless and contrary to nature, so also is it with the phlegm; such of it as is sweet is useful to the animal and according to nature, while, as to such of it as has become bitter or salt, that part which is bitter is completely undigested, while that part which is salt has undergone putrefaction. And the term "*complete indigestion*" refers of course to the second digestion—that which takes place in the veins; it is not a failure of the first digestion—that in the alimentary canal—for it would not have become a humour at the outset if it had escaped this digestion also.

It seems to me that I have made enough reference to what has been said regarding the genesis and destruction of humours by Hippocrates, Plato, Aristotle, Praxagoras, and Diocles, and many others among the Ancients; I did not deem it right to transport the whole of their final pronouncements into this treatise. I have said only so much regarding each of the humours as will stir up the reader, unless he be absolutely inept, to make himself familiar with the writings of the Ancients, and will help him to gain more easy access to them. In another treatise[1] I have written on the humours according to Praxagoras, son of Nicarchus; although this authority makes as many as ten humours, not

[1] Now lost.

δέκα ποιεῖ χωρὶς τοῦ αἵματος, ἑνδέκατος γὰρ ἂν εἴη χυμὸς αὐτὸ τὸ αἷμα, τῆς Ἱπποκράτους οὐκ ἀποχωρεῖ διδασκαλίας. ἀλλ᾽ εἰς εἴδη τινὰ καὶ διαφορὰς τέμνει τοὺς ὑπ᾽ ἐκείνου πρώτου πάντων ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν εἰρημένους χυμούς.

Ἐπαινεῖν μὲν οὖν χρὴ τούς τ᾽ ἐξηγησαμένους τὰ καλῶς εἰρημένα καὶ τοὺς εἴ τι παραλέλειπται προστιθέντας· οὐ γὰρ οἷόν τε τὸν αὐτὸν ἄρξασθαί τε καὶ τελειῶσαι· μέμφεσθαι δὲ τοὺς οὕτως ἀταλαιπώρους, ὡς μηδὲν ὑπομένειν μαθεῖν τῶν ὀρθῶς εἰρημένων, καὶ τοὺς εἰς τοσοῦτον φιλοτίμους, ὥστ᾽ ἐπιθυμίᾳ νεωτέρων δογμάτων ἀεὶ πανουργεῖν τι καὶ σοφίζεσθαι, τὰ μὲν ἑκόντας παραλιπόντας, ὥσπερ Ἐρασίστρατος ἐπὶ τῶν
142 χυμῶν ἐποίησε, τὰ δὲ πα||νούργως ἀντιλέγοντας, ὥσπερ αὐτός θ᾽ οὗτος καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων.

Ἀλλ᾽ οὗτος μὲν ὁ λόγος ἐνταυθοῖ τελευτάτω, τὸ δ᾽ ὑπόλοιπον ἅπαν ἐν τῷ τρίτῳ προσθήσω.

including the blood (the blood itself being an eleventh), this is not a departure from the teaching of Hippocrates; for Praxagoras divides into species and varieties the humours which Hippocrates first mentioned, with the demonstration proper to each.

Those, then, are to be praised who explain the points which have been duly mentioned, as also those who add what has been left out; for it is not possible for the same man to make both a beginning and an end. Those, on the other hand, deserve censure who are so impatient that they will not wait to learn any of the things which have been duly mentioned, as do also those who are so ambitious that, in their lust after novel doctrines, they are always attempting some fraudulent sophistry, either purposely neglecting certain subjects, as Erasistratus does in the case of the humours, or unscrupulously attacking other people, as does this same writer, as well as many of the more recent authorities.

But let this discussion come to an end here, and I shall add in the third book all that remains.

# BOOK III

Γ

I

143 Ὅτι μὲν οὖν ἡ θρέψις ἀλλοιουμένου τε καὶ ὁμοιουμένου γίγνεται τοῦ τρέφοντος τῷ τρεφομένῳ καὶ ὡς ἐν ἑκάστῳ τῶν τοῦ ζῴου μορίων ἐστί τις δύναμις, ἣν ἀπὸ τῆς ἐνεργείας ἀλλοιωτικὴν μὲν κατὰ γένος, ὁμοιωτικὴν δὲ καὶ θρεπτικὴν κατ' εἶδος ὀνομάζομεν, ἐν τῷ πρόσθεν δεδήλωται λόγῳ. τὴν δ' εὐπορίαν τῆς ὕλης, ἣν τροφὴν ἑαυτῷ ποιεῖται τὸ τρεφόμενον, ἐξ ἑτέρας τινὸς ἔχειν ἐδείκνυτο δυνάμεως ἐπισπᾶσθαι πεφυκυίας τὸν οἰκεῖον χυμόν, εἶναι δ' οἰκεῖον
144 ἑκάστῳ τῶν μορίων χυμόν, ὃς ἂν || ἐπιτήδειος εἰς τὴν ἐξομοίωσιν ᾖ, καὶ τὴν ἕλκουσαν αὐτὸν δύναμιν ἀπὸ τῆς ἐνεργείας ἑλκτικήν τέ τινα καὶ ἐπισπαστικὴν ὀνομάζεσθαι. δέδεικται δὲ καί, ὡς πρὸ μὲν τῆς ὁμοιώσεως ἡ πρόσφυσίς ἐστιν, ἐκείνης δ' ἔμπροσθεν ἡ πρόσθεσις γίγνεται, τέλος, ὡς ἂν εἴποι τις, οὖσα τῆς κατὰ τὴν ἐπισπαστικὴν δύναμιν ἐνεργείας. αὐτὸ μὲν γὰρ τὸ παράγεσθαι τὴν τροφὴν ἐκ τῶν φλεβῶν εἰς ἕκαστον τῶν μορίων τῆς ἑλκτικῆς ἐνεργούσης γίγνεται δυνά-

[1] "Of food to feeder," *i.e.* of the environment to the organism. *cf.* p. 39, chap. xi.
[2] "Drawing"; *cf.* p. 116, note 2.

# BOOK III

## I

It has been made clear in the preceding discussion that nutrition occurs by an *alteration* or *assimilation* of that which nourishes to that which receives nourishment,[1] and that there exists in every part of the animal a faculty which in view of its activity we call, in general terms, *alterative*, or, more specifically, *assimilative* and *nutritive*. It was also shown that a sufficient supply of the matter which the part being nourished makes into nutriment for itself is ensured by virtue of another faculty which naturally attracts its *proper juice* [humour] that that juice is proper to each part which is adapted for assimilation, and that the faculty which attracts the juice is called, by reason of its activity, *attractive* or *epispastic*.[2] It has also been shown that assimilation is preceded by *adhesion*, and this, again, by *presentation*,[3] the latter stage being, as one might say, the end or goal of the activity corresponding to the attractive faculty. For the actual bringing up of nutriment from the veins into each of the parts takes place through the activation of the attractive faculty,[4] whilst to

[3] For these terms (*prosthesis* and *prosphysis* in Greek) *cf.* p. 39, notes 5 and 6.

[4] Lit. "through the *energizing* (or *functioning*) of the attractive faculty"; the faculty (δύναμις) *in operation* is an activity (ἐνέργεια). *cf.* p. 3, note 2.

μεως, τὸ δ' ἤδη παρῆχθαί τε καὶ προστίθεσθαι τῷ μορίῳ τὸ τέλος ἐστὶν αὐτό, δι' ὃ καὶ τῆς τοιαύτης ἐνεργείας ἐδεήθημεν· ἵνα γὰρ προστεθῇ, διὰ τοῦθ' ἕλκεται. χρόνου δ' ἐντεῦθεν ἤδη πλείονος εἰς τὴν θρέψιν τοῦ ζῴου δεῖ· ἑλχθῆναι μὲν γὰρ καὶ διὰ ταχέων τι δύναται, προσφῦναι δὲ καὶ ἀλλοιωθῆναι καὶ τελέως ὁμοιωθῆναι τῷ τρεφομένῳ καὶ μέρος αὐτοῦ γενέσθαι παραχρῆμα μὲν οὐχ οἷόν τε, χρόνῳ δ' ἂν πλείονι συμβαίνοι καλῶς. ἀλλ' εἰ μὴ μένοι κατὰ τὸ μέρος ὁ προστεθεὶς οὗτος χυμός, εἰς ἕτερον δέ τι μεθίσταιτο καὶ παραρρέοι διὰ παντὸς ἀμείβων τε καὶ ὑπαλ-
145 λάττων τὰ χωρία, κατ' οὐδὲν αὐτῶν || οὔτε πρόσφυσις οὔτ' ἐξομοίωσις ἔσται. δεῖ δὲ κἀνταῦθά τινος τῇ φύσει δυνάμεως ἑτέρας εἰς πολυχρόνιον μονὴν τοῦ προστεθέντος τῷ μορίῳ χυμοῦ καὶ ταύτης οὐκ ἔξωθέν ποθεν ἐπιρρεούσης ἀλλ' ἐν αὐτῷ τῷ θρεψομένῳ κατῳκισμένης, ἣν ἀπὸ τῆς ἐνεργείας πάλιν οἱ πρὸ ἡμῶν ἠναγκάσθησαν ὀνομάσαι καθεκτικήν.

Ὁ μὲν δὴ λόγος ἤδη σαφῶς ἐνεδείξατο τὴν ἀνάγκην τῆς γενέσεως τῆς τοιαύτης δυνάμεως καὶ ὅστις ἀκολουθίας σύνεσιν ἔχει, πέπεισται βεβαίως ἐξ ὧν εἴπομεν, ὡς ὑποκειμένου τε καὶ προαποδεδειγμένου τοῦ τεχνικὴν εἶναι τὴν φύσιν καὶ τοῦ ζῴου κηδεμονικὴν ἀναγκαῖον ὑπάρχειν αὐτῇ καὶ τὴν τοιαύτην δύναμιν.

have been finally brought up and presented to the part is the actual end for which we desired such an activity; it is attracted in order that it may be presented. After this, considerable time is needed for the nutrition of the animal; whilst a thing may be even rapidly attracted, on the other hand to become adherent, altered, and entirely assimilated to the part which is being nourished and to become a part of it, cannot take place suddenly, but requires a considerable amount of time. But if the nutritive juice, so presented, does not remain in the part, but withdraws to another one, and keeps flowing away, and constantly changing and shifting its position, neither adhesion nor complete assimilation will take place in any of them. Here too, then, the [animal's] nature has need of some other faculty for ensuring a prolonged stay of the presented juice at the part, and this not a faculty which comes in from somewhere outside but one which is resident in the part which is to be nourished. This faculty, again, in view of its activity our predecessors were obliged to call *retentive.*

Thus our argument has clearly shown [1] the necessity for the genesis of such a faculty, and whoever has an appreciation of logical sequence must be firmly persuaded from what we have said that, if it be laid down and proved by previous demonstration that Nature is artistic and solicitous for the animal's welfare, it necessarily follows that she must also possess a faculty of this kind.

[1] This chapter is an excellent example of Galen's method of reasoning *a priori*. The complementary inductive method, however, is employed in the next chapter. *cf.* p. 209, note 1.

## II

Ἀλλ' ἡμεῖς οὐ τούτῳ μόνῳ τῷ γένει τῆς ἀποδείξεως εἰθισμένοι χρῆσθαι, προστιθέντες δ' αὐτῷ καὶ τὰς ἐκ τῶν ἐναργῶς φαινομένων ἀναγκαζούσας τε καὶ βιαζομένας πίστεις ἐπὶ τὰς τοιαύτας καὶ νῦν ἀφιξόμεθα καὶ δείξομεν ἐπὶ μέν τινων μορίων τοῦ σώματος οὕτως ἐναργῆ τὴν καθεκτικὴν δύ-
146 ναμιν, ὡς αὐταῖς ταῖς αἰσθήσεσι ‖ διαγιγνώσκεσθαι τὴν ἐνέργειαν αὐτῆς, ἐπὶ δέ τινων ἧττον μὲν ἐναργῶς ταῖς αἰσθήσεσι, λόγῳ δὲ κἀνταῦθα φωραθῆναι δυναμένην.

Ἀρξώμεθ' οὖν τῆς διδασκαλίας ἀπ' αὐτοῦ τοῦ τέως πρῶτον μεθόδῳ τινὶ προχειρίσασθαι μόρι' ἄττα τοῦ σώματος, ἐφ' ὧν ἀκριβῶς ἔστι βασανίσαι τε καὶ ζητῆσαι τὴν καθεκτικὴν δύναμιν ὁποία ποτ' ἐστίν.

Ἆρ' οὖν ἄμεινον ἄν τις ἑτέρωθεν ἢ ἀπὸ τῶν μεγίστων τε καὶ κοιλοτάτων ὀργάνων ὑπάρξαιτο τῆς ζητήσεως; ἐμοὶ μὲν οὖν οὐκ ἂν δοκεῖ βέλτιον. ἐναργεῖς γοῦν εἰκὸς ἐπὶ τούτων φανῆναι τὰς ἐνεργείας διὰ τὸ μέγεθος· ὡς τά γε σμικρὰ τάχ' ἄν, εἰ καὶ σφοδρὰν ἔχει τὴν τοιαύτην δύναμιν, ἀλλ' οὐκ αἰσθήσει γ' ἑτοίμην διαγιγνώσκεσθαι τὴν ἐνέργειαν αὐτῆς.

Ἀλλ' ἔστιν ἐν τοῖς μάλιστα κοιλότατα καὶ μέγιστα τῶν τοῦ ζῴου μορίων ἥ τε γαστὴρ καὶ <αἱ> μῆτραί τε καὶ ὑστέραι καλούμεναι. τί οὖν κωλύει ταῦτα πρῶτα προχειρισαμένους ἐπισκέψασθαι τὰς ἐνεργείας αὐτῶν, ὅσαι μὲν καὶ πρὸ τῆς ἀνατομῆς

[1] The deductive.

[2] The *logos* is the argument or "theory" arrived at by the

## II

Since, however, it is not our habit to employ this kind of demonstration[1] alone, but to add thereto cogent and compelling proofs drawn from obvious facts, we will also proceed to the latter kind in the present instance: we will demonstrate that in certain parts of the body *the retentive faculty* is so obvious that its operation can be actually recognised by the *senses*, whilst in other parts it is less obvious to the senses, but is capable even here of being detected by the *argument*.[2]

Let us begin our exposition, then, by first dealing systematically for a while with certain definite parts of the body, in reference to which we may accurately test and enquire what sort of thing the retentive faculty is.

Now, could one begin the enquiry in any better way than with the largest and hollowest organs? Personally I do not think one could. It is to be expected that in these, owing to their size, the activities will show quite clearly, whereas with respect to the small organs, even if they possess a strong faculty of this kind, its activation will not at once be recognisable to sense.

Now those parts of the animal which are especially hollow and large are the stomach and the organ which is called the womb or uterus.[3] What prevents us, then, from taking up these first and considering their activities, conducting the enquiry on our own

process of λογικὴ θεωρία or "theorizing"; *cf.* p. 151, note 3; p. 205, note 1.

[3] The Greek words for the uterus (*mētrae* and *hysterae*) probably owe their plural form to the belief that the organ was bicornuate in the human, as it is in some of the lower species.

δῆλαι, τὴν ἐξέτασιν ἐφ' ἡμῶν αὐτῶν ποιουμένους, ὅσαι δ' ἀμυδρότεραι, τὰ παραπλήσια διαιροῦντας
147 ἀνθρώπῳ ζῷα, || οὐχ ὡς οὐκ ἂν ἱκανῶς τό γε καθόλου περὶ τῆς ζητουμένης δυνάμεως καὶ τῶν ἀνομοίων ἐνδειξομένων, ἀλλ' ὡς ἵν' ἅμα τῷ κοινῷ καὶ τὸ ἴδιον ἐφ' ἡμῶν αὐτῶν ἐγνωκότες εἴς τε τὰς διαγνώσεις τῶν νοσημάτων καὶ τὰς ἰάσεις εὐπορώτεροι γιγνώμεθα.

Περὶ μὲν οὖν ἀμφοτέρων τῶν ὀργάνων ἅμα λέγειν ἀδύνατον, ἐν μέρει δ' ὑπὲρ ἑκατέρου ποιησόμεθα τὸν λόγον ἀπὸ τοῦ σαφέστερον ἐνδείξασθαι δυναμένου τὴν καθεκτικὴν δύναμιν ἀρξάμενοι. κατέχει μὲν γὰρ καὶ ἡ γαστὴρ τὰ σιτία, μέχρι περ ἂν ἐκπέψῃ, κατέχουσι δὲ καὶ αἱ μῆτραι τὸ ἔμβρυον, ἔστ' ἂν τελειώσωσιν· ἀλλὰ πολλαπλάσιός ἐστιν ὁ τῆς τῶν ἐμβρύων τελειώσεως χρόνος τῆς τῶν σιτίων πέψεως.

## III

Εἰκὸς οὖν καὶ τὴν δύναμιν ἐναργέστερον ἐν ταῖς μήτραις φωράσειν ἡμᾶς τὴν καθεκτικήν, ὅσῳ καὶ πολυχρονιωτέραν τῆς γαστρὸς τὴν ἐνέργειαν κέκτηται. μησὶ γὰρ ἐννέα που ταῖς πλείσταις τῶν γυναικῶν ἐν αὐταῖς τελειοῦται τὰ κυήματα, μεμυκυίαις μὲν ἅπαντι τῷ αὐχένι, περιεχούσαις δὲ πανταχόθεν αὐτὰ σὺν τῷ χορίῳ. ||
148 καὶ πέρας γε τῆς τοῦ στόματος μύσεως καὶ τῆς τοῦ κυουμένου κατὰ τὰς μήτρας μονῆς ἡ χρεία τῆς ἐνεργείας ἐστίν· οὐ γὰρ ὡς ἔτυχεν οὐδ' ἀλόγως ἱκανὰς περιστέλλεσθαι καὶ κατέχειν τὸ

persons in regard to those activities which are obvious without dissection, and, in the case of those which are more obscure, dissecting animals which are near to man;[1] not that even animals unlike him will not show, in a general way, the faculty in question, but because in this manner we may find out at once what is common to all and what is peculiar to ourselves, and so may become more resourceful in the diagnosis and treatment of disease.

Now it is impossible to speak of both organs at once, so we shall deal with each in turn, beginning with the one which is capable of demonstrating the retentive faculty most plainly. For the stomach retains the food until it has quite digested it, and the uterus retains the embryo until it brings it to completion, but the time taken for the completion of the embryo is many times more than that for the digestion of food.

## III

We may expect, then, to detect the retentive faculty in the uterus more clearly in proportion to the longer duration of its activity as compared with that of the stomach. For, as we know, it takes nine months in most women for the foetus to attain maturity in the womb, this organ having its neck quite closed, and entirely surrounding the embryo together with the *chorion*. Further, it is the utility of the function which determines the closure of the os and the stay of the foetus in the uterus. For it is not casually nor without reason that Nature has made

[1] Note this expression. For Galen's views on the origin of species, *cf.* Introduction, p. xxxi., footnote.

ἔμβρυον ἡ φύσις ἀπειργάσατο τὰς ὑστέρας, ἀλλ' ἵν' εἰς τὸ πρέπον ἀφίκηται μέγεθος τὸ κυούμενον. ὅταν οὖν, οὗ χάριν ἐνήργουν τῇ καθεκτικῇ δυνάμει, συμπεπληρωμένον ᾖ, ταύτην μὲν ἀνέπαυσάν τε καὶ εἰς ἠρεμίαν ἐπανήγαγον, ἀντ' αὐτῆς δ' ἑτέρᾳ χρῶνται τῇ τέως ἡσυχαζούσῃ, τῇ προωστικῇ. ἦν δ' ἄρα καὶ τῆς ἐκείνης ἡσυχίας ὅρος ἡ χρεία καὶ τῆς γ' ἐνεργείας ὡσαύτως ἡ χρεία· καλούσης μὲν γὰρ αὐτῆς ἐνεργεῖ, μὴ καλούσης δ' ἡσυχάζει.

Καὶ χρὴ πάλιν κἀνταῦθα καταμαθεῖν τῆς φύσεως τὴν τέχνην, ὡς οὐ μόνον ἐνεργειῶν χρησίμων δυνάμεις ἐνέθηκεν ἑκάστῳ τῶν ὀργάνων, ἀλλὰ καὶ τοῦ τῶν ἡσυχιῶν τε καὶ κινήσεων καιροῦ προὐνοήσατο. καλῶς μὲν γὰρ ἁπάντων γιγνομένων τῶν κατὰ τὴν κύησιν ἡ ἀποκριτικὴ δύναμις ἡσυχάζει τελέως ὥσπερ οὐκ οὖσα, κακοπραγίας δέ τινος γενομένης ἢ περὶ τὸ χορίον ἢ
149 περί τινα τῶν ἄλλων || ὑμένων ἢ περὶ τὸ κυούμενον αὐτὸ καὶ τῆς τελειώσεως αὐτοῦ παντάπασιν ἀπογνωσθείσης οὐκέτ' ἀναμένουσι τὸν ἐννεάμηνον αἱ μῆτραι χρόνον, ἀλλ' ἡ μὲν καθεκτικὴ δύναμις αὐτίκα δὴ πέπαυται καὶ παραχωρεῖ κινεῖσθαι τῇ πρότερον ἀργούσῃ, πράττει δ' ἤδη τι καὶ πραγματεύεται χρηστὸν ἡ ἀποκριτική τε καὶ προωστική· καὶ γὰρ οὖν καὶ ταύτην οὕτως ἐκάλεσαν ἀπὸ τῶν ἐνεργειῶν αὐτῇ τὰ ὀνόματα θέμενοι καθάπερ καὶ ταῖς ἄλλαις.

Καί πως ὁ λόγος ἔοικεν ὑπὲρ ἀμφοτέρων ἀποδείξειν ἅμα· καὶ γάρ τοι καὶ διαδεχομένας αὐτὰς ἀλλήλας καὶ παραχωροῦσαν ἀεὶ τὴν ἑτέραν τῇ λοιπῇ, καθότι ἂν ἡ χρεία κελεύῃ, καὶ

the uterus capable of contracting upon, and of retaining the embryo, but in order that the latter may arrive at a proper size. When, therefore, the object for which the uterus brought its retentive faculty into play has been fulfilled, it then stops this faculty and brings it back to a state of rest, and employs instead of it another faculty hitherto quiescent—the *propulsive* faculty. In this case again the quiescent and active states are both determined by utility; when this calls, there is activity; when it does not, there is rest.

Here, then, once more, we must observe well the Art [artistic tendency] of Nature—how she has not merely placed in each organ the capabilities of useful activities, but has also fore-ordained the times both of rest and movement. For when everything connected with the pregnancy proceeds properly, the *eliminative* faculty remains quiescent as though it did not exist, but if anything goes wrong in connection either with the chorion or any of the other membranes or with the foetus itself, and its completion is entirely despaired of, then the uterus no longer awaits the nine-months period, but the retentive faculty forthwith ceases and allows the heretofore inoperative faculty to come into action. Now it is that something is done—in fact, useful work effected—by the *eliminative or propulsive faculty* (for so it, too, has been called, receiving, like the rest, its names from the corresponding activities).

Further, our theory can, I think, demonstrate both together; for seeing that they succeed each other, and that the one keeps giving place to the other according as utility demands, it seems not unreason-

τὴν διδασκαλίαν κοινὴν οὐκ ἀπεικός ἐστι δέχεσθαι. τῆς μὲν οὖν καθεκτικῆς δυνάμεως ἔργον περιστεῖλαι τὰς μήτρας τῷ κυουμένῳ πανταχόθεν, ὥστ' εὐλόγως ἁπτομέναις μὲν ταῖς μαιευτρίαις τὸ στόμα μεμυκὸς αὐτῶν φαίνεται, ταῖς κυούσαις δ' αὐταῖς κατὰ τὰς πρώτας ἡμέρας καὶ μάλιστα κατ' αὐτὴν ἐκείνην, ἐν ᾗπερ ἂν ἡ τῆς γονῆς σύλληψις γένηται, κινουμένων τε καὶ συν-
150 τρεχουσῶν εἰς ἑαυτὰς τῶν ὑστερῶν αἴσθη‖σις γίγνεται καὶ ἢν ἄμφω ταῦτα συμβῇ, μῦσαι μὲν τὸ στόμα χωρὶς φλεγμονῆς ἤ τινος ἄλλου παθήματος, αἴσθησιν δὲ τῆς κατὰ τὰς μήτρας κινήσεως ἀκολουθῆσαι, πρὸς αὑτὰς ἤδη τὸ σπέρμα τὸ παρὰ τἀνδρὸς εἰληφέναι τε καὶ κατέχειν αἱ γυναῖκες νομίζουσι.

Ταῦτα δ' οὐχ ἡμεῖς νῦν ἀναπλάττομεν ἡμῖν αὐτοῖς, ἀλλ' ἐκ μακρᾶς πείρας δοκιμασθέντα πᾶσι γέγραπται σχεδόν τι τοῖς περὶ τούτων πραγματευσαμένοις. Ἡρόφιλος μέν γε καὶ ὡς οὐδὲ πυρῆνα μήλης ἂν δέχοιτο τῶν μητρῶν τὸ στόμα, πρὶν ἀποκυεῖν τὴν γυναῖκα, καὶ ὡς οὐδὲ τοὐλάχιστον ἔτι διέστηκεν, ἢν ὑπάρξηται κύειν, καὶ ὡς ἐπὶ πλέον ἀναστομοῦνται κατὰ τὰς τῶν ἐπιμηνίων φοράς, οὐκ ὤκνησε γράφειν· συνομολογοῦσι δ' αὐτῷ καὶ οἱ ἄλλοι πάντες οἱ περὶ τούτων πραγματευσάμενοι καὶ πρῶτός γ' ἁπάντων ἰατρῶν τε καὶ φιλοσόφων Ἱπποκράτης ἀπεφήνατο μύειν τὸ στόμα τῶν ὑστερῶν ἔν τε ταῖς κυήσεσι καὶ ταῖς φλεγμοναῖς, ἀλλ' ἐν μὲν ταῖς κυήσεσιν οὐκ ἐξιστάμενον τῆς φύσεως, ἐν δὲ ταῖς φλεγμοναῖς σκληρὸν γιγνόμενον.

able to accept a common demonstration also for both. Thus it is the work of the retentive faculty to make the uterus contract upon the foetus at every point, so that, naturally enough, when the midwives palpate it, the os is found to be closed, whilst the pregnant women themselves, during the first days—and particularly on that on which conception takes place—experience a sensation as if the uterus were moving and contracting upon itself. Now, if both of these things occur—if the os closes apart from inflammation or any other disease, and if this is accompanied by a feeling of movement in the uterus—then the women believe that they have received the semen which comes from the male, and that they are retaining it.

Now we are not inventing this for ourselves: one may say the statement is based on prolonged experience of those who occupy themselves with such matters. Thus Herophilus[1] does not hesitate to state in his writings that up to the time of labour the os uteri will not admit so much as the tip of a probe, that it no longer opens to the slightest degree if pregnancy has begun—that, in fact, it dilates more widely at the times of the menstrual flow. With him are in agreement all the others who have applied themselves to this subject; and particularly Hippocrates, who was the first of all physicians and philosophers to declare that the os uteri closes during pregnancy and inflammation, albeit in pregnancy it does not depart from its own nature, whilst in inflammation it becomes hard.

[1] Herophilus of Chalcedon (*circa* 300 B.C.) was, like Erasistratus, a representative of the anatomical school of Alexandria. His book on Midwifery was known for centuries. *cf.* Introduction, p. xii.

Ἐπὶ δέ γε τῆς ἐναντίας τῆς ἐκκριτικῆς ἀνοίγνυται μὲν τὸ στόμα, προέρχεται δ' ὁ πυθμὴν ‖
151 ἅπας ὅσον οἷόν τ' ἐγγυτάτω τοῦ στόματος ἀπωθούμενος ἔξω τὸ ἔμβρυον, ἅμα δ' αὐτῷ καὶ τὰ συνεχῆ μέρη τὰ οἷον πλευρὰ τοῦ παντὸς ὀργάνου συνεπιλαμβανόμενα τοῦ ἔργου θλίβει τε καὶ προωθεῖ πᾶν ἔξω τὸ ἔμβρυον. καὶ πολλαῖς τῶν γυναικῶν ὠδῖνες βίαιοι τὰς μήτρας ὅλας ἐκπεσεῖν ἠνάγκασαν ἀμέτρως χρησαμέναις τῇ τοιαύτῃ δυνάμει, παραπλησίου τινὸς γιγνομένου τῷ πολλάκις ἐν πάλαις τισὶ καὶ φιλονεικίαις συμβαίνοντι, ὅταν ἀνατρέψαι τε καὶ καταβαλεῖν ἑτέρους σπεύδοντες αὐτοὶ συγκαταπέσωμεν. οὕτω γὰρ καὶ αἱ μῆτραι τὸ ἔμβρυον ὠθοῦσαι συνεξέπεσον ἐνίοτε καὶ μάλισθ', ὅταν οἱ πρὸς τὴν ῥάχιν αὐτῶν σύνδεσμοι χαλαροὶ φύσει τυγχάνωσιν ὄντες.

Ἔστι δὲ καὶ τοῦτο θαυμαστόν τι τῆς φύσεως σόφισμα, τὸ ζῶντος μὲν τοῦ κυήματος ἀκριβῶς πάνυ μεμυκέναι τὸ στόμα τῶν μητρῶν, ἀποθανόντος δὲ παραχρῆμα διανοίγεσθαι τοσοῦτον, ὅσον εἰς τὴν ἔξοδον αὐτοῦ διαφέρει. καὶ μέντοι καὶ αἱ μαῖαι τὰς τικτούσας οὐκ εὐθὺς ἀνιστᾶσιν οὐδ' ἐπὶ τὸν δίφρον καθίζουσιν, ἀλλ' ἅπτονται
152 πρότερον ἀνοιγομένου τοῦ στόματος ‖ κατὰ βραχὺ καὶ πρῶτον μέν, ὥστε τὸν μικρὸν δάκτυλον καθιέναι, διεστηκέναι φασίν, ἔπειτ' ἤδη καὶ μεῖζον καὶ κατὰ βραχὺ δὴ πυνθανομένοις ἡμῖν ἀποκρίνονται τὸ μέγεθος τῆς διαστάσεως ἐπαυξανόμενον. ὅταν δ' ἱκανὸν ᾖ πρὸς τὴν τοῦ κυουμένου δίοδον, ἀνιστᾶσιν αὐτὰς καὶ καθίζουσι

In the case of the opposite (the eliminative) faculty, the os opens, whilst the whole fundus approaches as near as possible to the os, expelling the embryo as it does so; and along with the fundus the contiguous parts—which form as it were a girdle round the whole organ—co-operate in the work; they squeeze upon the embryo and propel it bodily outwards. And, in many women who exercise such a faculty immoderately, violent pains cause forcible prolapse of the whole womb; here almost the same thing happens as frequently occurs in wrestling-bouts and struggles, when in our eagerness to overturn and throw others we are ourselves upset along with them; for similarly when the uterus is forcing the embryo forward it sometimes becomes entirely prolapsed, and particularly when the ligaments connecting it with the spine happen to be naturally lax.[1]

A wonderful device of Nature's also is this—that, when the foetus is alive, the os uteri is closed with perfect accuracy, but if it dies, the os at once opens up to the extent which is necessary for the foetus to make its exit. The midwife, however, does not make the parturient woman get up at once and sit down on the [obstetric] chair, but she begins by palpating the os as it gradually dilates, and the first thing she says is that it has dilated "enough to admit the little finger," then that "it is bigger now," and as we make enquiries from time to time, she answers that the size of the dilatation is increasing. And when it is sufficient to allow of the transit of the foetus,[2] she then makes the patient get up from her bed and

[1] Relaxation of utero-sacral ligaments as an important predisposing cause of prolapsus uteri.

[2] That is, at the end of the first stage of labour.

καὶ προθυμεῖσθαι κελεύουσιν ἀπώσασθαι τὸ παιδίον. ἔστι δ' ἤδη τοῦτο τὸ ἔργον, ὃ παρ' ἑαυτῶν αἱ κύουσαι προστιθέασιν, οὐκέτι τῶν ὑστερῶν, ἀλλὰ τῶν κατ' ἐπιγάστριον μυῶν, οἳ πρὸς τὴν ἀποπάτησίν τε καὶ τὴν οὔρησιν ἡμῖν συνεργοῦσιν.

## IV

Οὕτω μὲν ἐπὶ τῶν μητρῶν ἐναργῶς αἱ δύο φαίνονται δυνάμεις, ἐπὶ δὲ τῆς γαστρὸς ὧδε. πρῶτον μὲν τοῖς κλύδωσιν, οἳ δὴ καὶ πεπίστευνται τοῖς ἰατροῖς ἀρρώστου κοιλίας εἶναι συμπτώματα καὶ κατὰ λόγον πεπίστευνται· ἐνίοτε μὲν γὰρ ἐλάχιστα προσενηνεγμένων οὐ γίγνονται περιστελλομένης ἀκριβῶς αὐτοῖς τῆς γαστρὸς καὶ σφιγγούσης πανταχόθεν, ἐνίοτε δὲ μεστὴ μὲν ἡ
153 γαστήρ ἐστιν, οἱ κλύ||δωνες δ' ὡς ἐπὶ κενῆς ἐξακούονται. κατὰ φύσιν μὲν γὰρ ἔχουσα καὶ χρωμένη καλῶς τῇ περισταλτικῇ δυνάμει, κἂν ὀλίγον ᾖ τὸ περιεχόμενον, ἅπαν αὐτὸ περιλαμβάνουσα χώραν οὐδεμίαν ἀπολείπει κενήν, ἀρρωστοῦσα δέ, καθότι ἂν ἀδυνατήσῃ περιλαβεῖν ἀκριβῶς, ἐνταῦθ' εὐρυχωρίαν τιν' ἐργαζομένη συγχωρεῖ τοῖς περιεχομένοις ὑγροῖς κατὰ τὰς τῶν σχημάτων μεταλλαγὰς ἄλλοτ' ἀλλαχόσε μεταρρέουσι κλύδωνας ἀποτελεῖν.

Εὐλόγως οὖν, ὅτι μηδὲ πέψουσιν ἱκανῶς, οἱ ἐν τῷδε τῷ συμπτώματι γενόμενοι προσδοκῶσιν· οὐ γὰρ ἐνδέχεται πέψαι καλῶς ἄρρωστον γαστέρα. τοῖς τοιούτοις δὲ καὶ μέχρι πλείονος ἐν αὐτῇ

sit on the chair, and bids her make every effort to expel the child. Now, this additional work which the patient does of herself is no longer the work of the uterus but of the epigastric muscles, which also help us in defaecation and micturition.

## IV

Thus the two faculties are clearly to be seen in the case of the uterus; in the case of the *stomach* they appear as follows:—Firstly in the condition of *gurgling*, which physicians are persuaded, and with reason, to be a symptom of weakness of the stomach; for sometimes when the very smallest quantity of food has been ingested this does not occur, owing to the fact that the stomach is contracting accurately upon the food and constricting it at every point; sometimes when the stomach is full the gurglings yet make themselves heard as though it were empty. For if it be in a natural condition, employing its contractile faculty in the ordinary way, then, even if its contents be very small, it grasps the whole of them and does not leave any empty space. When it is weak, however, being unable to lay hold of its contents accurately, it produces a certain amount of vacant space, and allows the liquid contents to flow about in different directions in accordance with its changes of shape, and so to produce gurglings.

Thus those who are troubled with this symptom expect, with good reason, that they will also be unable to digest adequately; proper digestion cannot take place in a weak stomach. In such people also, the mass of food may be plainly seen to remain

φαίνεται παραμένον τὸ βάρος, ὡς ἂν καὶ βραδύτερον πέττουσι. καὶ μὴν θαυμάσειεν ἄν τις ἐπ' αὐτῶν τούτων μάλιστα τὸ πολυχρόνιον τῆς ἐν τῇ γαστρὶ διατριβῆς οὐ τῶν σιτίων μόνον ἀλλὰ καὶ τοῦ πόματος· οὐ γάρ, ὅπερ ἂν οἰηθείη τις, ὡς τὸ τῆς γαστρὸς στόμα τὸ κάτω στενὸν ἱκανῶς ὑπάρχον οὐδὲν παρίησι πρὶν ἀκριβῶς λειωθῆναι, τοῦτ' αἴτιον ὄντως ἐστί. πολλὰ γοῦν πολλάκις
154 ὀπωρῶν ὀστᾶ μέγιστα καταπίνουσι || πάμπολλοι καί τις δακτύλιον χρυσοῦν ἐν τῷ στόματι φυλάττων ἄκων κατέπιε καὶ ἄλλος τις νόμισμα καὶ ἄλλος ἄλλο τι σκληρὸν καὶ δυσκατέργαστον, ἀλλ' ὅμως ἅπαντες οὗτοι ῥᾳδίως ἀπεπάτησαν, ἃ κατέπιον, οὐδενὸς αὐτοῖς ἀκολουθήσαντος συμπτώματος. εἰ δέ γ' ἡ στενότης τοῦ πόρου τῆς γαστρὸς αἰτία τοῦ μένειν ἐπὶ πλέον ἦν τοῖς ἀτρίπτοις σιτίοις, οὐδὲν ἂν τούτων ποτὲ διεχώρησεν. ἀλλὰ καὶ τὸ τὰ πόματ' αὐτοῖς ἐν τῇ γαστρὶ παραμένειν ἐπὶ πλεῖστον ἱκανὸν ἀπάγειν τὴν ὑπόνοιαν τοῦ πόρου τῆς στενότητος· ὅλως γάρ, εἴπερ ἦν ἐν τῷ κεχυλῶσθαι τὸ θᾶττον ὑπιέναι, τά τε ῥοφήματ' ἂν οὕτω καὶ τὸ γάλα καὶ ὁ τῆς πτισάνης χυλὸς αὐτίκα διεξῄει πᾶσιν. ἀλλ' οὐχ ὧδ' ἔχει· τοῖς μὲν γὰρ ἀσθενέσιν ἐπὶ πλεῖστον ἐμπλεῖ ταῦτα καὶ κλύδωνας ἐργάζεται παραμένοντα καὶ θλίβει καὶ βαρύνει τὴν γαστέρα, τοῖς δ' ἰσχυροῖς οὐ μόνον τούτων οὐδὲν συμβαίνει, ἀλλὰ καὶ πολὺ πλῆθος ἄρτων καὶ κρεῶν ὑποχωρεῖ ταχέως.

---

[1] The pylorus.
[2] "Chylosis," chylification. *cf.* p. 240, note 1.

an abnormally long time in the stomach, as would be natural if their digestion were slow. Indeed, the chief way in which these people will surprise one is in the length of time that not food alone but even fluids will remain in their stomachs. Now, the actual cause of this is not, as one would imagine, that the lower outlet of the stomach,[1] being fairly narrow, will allow nothing to pass before being reduced to a fine state of division. There are a great many people who frequently swallow large quantities of big fruit-stones; one person, who was holding a gold ring in his mouth, inadvertently swallowed it; another swallowed a coin, and various people have swallowed various hard and indigestible objects; yet all these people easily passed by the bowel what they had swallowed, without there being any subsequent symptoms. Now surely if narrowness of the gastric outlet were the cause of untriturated food remaining for an abnormally long time, none of these articles I have mentioned would ever have escaped. Furthermore, the fact that it is liquids which remain longest in these people's stomachs is sufficient to put the idea of narrowness of the outlet out of court. For, supposing a rapid descent were dependent upon emulsification,[2] then soups, milk, and barley-emulsion[3] would at once pass along in every case. But as a matter of fact this is not so. For in people who are extremely asthenic it is just these fluids which remain undigested, which accumulate and produce gurglings, and which oppress and overload the stomach, whereas in strong persons not merely do none of these things happen, but even a large quantity of bread or meat passes rapidly down.

[3] Lit. barley-"chyle," *i.e.* barley-water.

Οὐ μόνον δ' ἐκ τοῦ περιτετάσθαι τὴν γαστέρα
155 καὶ βαρύνεσθαι ‖ καὶ μεταρρεῖν ἄλλοτ' εἰς ἄλλα
μέρη μετὰ κλύδωνος τὸ παραμένειν ἐπὶ πλέον ἐν
αὐτῇ πάντως τοῖς οὕτως ἔχουσι τεκμήραιτ' ἄν
τις ἀλλὰ κἀκ τῶν ἐμέτων· ἔνιοι γὰρ οὐ μετὰ
τρεῖς ὥρας ἢ τέτταρας ἀλλὰ νυκτῶν ἤδη μέσων
παμπόλλου μεταξὺ χρόνου διελθόντος ἐπὶ ταῖς
προσφοραῖς ἀνήμεσαν ἀκριβῶς ἅπαντα τὰ ἐδη-
δεσμένα.

Καὶ μὲν δὴ καὶ ζῷον ὁτιοῦν ἐμπλήσας ὑγρᾶς
τροφῆς, ὥσπερ ἡμεῖς πολλάκις ἐπὶ συῶν ἐπειρά-
θημεν ἐξ ἀλεύρων μέθ' ὕδατος οἷον κυκεῶνά τινα
δόντες αὐτοῖς, ἔπειτα μετὰ τρεῖς που καὶ τέτταρας
ὥρας ἀνατεμόντες, εἰ οὕτω καὶ σὺ πράξειας,
εὑρήσεις ἔτι κατὰ τὴν γαστέρα τὰ ἐδηδεσμένα·
πέρας γὰρ αὐτοῖς ἐστι τῆς ἐνταῦθα μονῆς οὐχ ἡ
χύλωσις, ἣν καὶ ἐκτὸς ἔτι ὄντων μηχανήσασθαι
δυνατόν ἐστιν, ἀλλ' ἡ πέψις, ἕτερόν τι τῆς χυλώ-
σεως οὖσα, καθάπερ αἱμάτωσίς τε καὶ θρέψις.
ὡς γὰρ κἀκεῖνα δέδεικται ποιοτήτων μεταβολῇ
γιγνόμενα, τὸν αὐτὸν τρόπον καὶ ἡ ἐν τῇ γαστρὶ
πέψις τῶν σιτίων εἰς τὴν οἰκείαν ἐστὶ τῷ τρεφο-
156 μένῳ ποιότητα ‖ μεταβολὴ καὶ ὅταν γε πεφθῇ
τελέως, ἀνοίγνυται μὲν τηνικαῦτα τὸ κάτω στόμα,
διεκπίπτει δ' αὐτοῦ τὰ σιτία ῥᾳδίως, εἰ καὶ
πλῆθός τι μεθ' ἑαυτῶν ἔχοντα τύχοι λίθων ἢ
ὀστῶν ἢ γιγάρτων ἤ τινος ἄλλου χυλωθῆναι
μὴ δυναμένου. καί σοι οὖτ' ἔνεστιν ἐπὶ ζῴου

And it is not only because the stomach is distended and loaded and because the fluid runs from one part of it to another accompanied by gurglings—it is not only for these reasons that one would judge that there was an unduly long continuance of the food in it, in those people who are so disposed, but also from the *vomiting*. Thus, there are some who vomit up every particle of what they have eaten, not after three or four hours, but actually in the middle of the night, a lengthy period having elapsed since their meal.

Suppose you fill any animal whatsoever with liquid food—an experiment I have often carried out in pigs, to whom I give a sort of mess of wheaten flour and water, thereafter cutting them open after three or four hours; if you will do this yourself, you will find the food still in the stomach. For it is not *chylification*[1] which determines the length of its stay here—since this can also be effected outside the stomach; the determining factor is *digestion*[2] which is a different thing from chylification, as are blood-production and nutrition. For, just as it has been shown[3] that these two processes depend upon a *change of qualities*, similarly also the digestion of food in the stomach involves a transmutation of it into the quality proper to that which is receiving nourishment.[4] Then, when it is completely digested, the lower outlet opens and the food is quickly ejected through it, even if there should be amongst it abundance of stones, bones, grape-pips, or other things which cannot be reduced to chyle. And you may observe this

[1] *i.e.* not the mere mechanical breaking down of food, but a distinctively vital action of "alteration."

[2] *Pepsis.* [3] Book I., chaps. x., xi. [4] *cf.* p. 222, note 1.

θεάσασθαι στοχασαμένῳ τὸν καιρὸν τῆς κάτω διεξόδου. καὶ μέν γε καὶ εἰ σφαλείης ποτὲ τοῦ καιροῦ καὶ μηδὲν μήπω κάτω παρέρχοιτο πεττομένων ἔτι κατὰ τὴν γαστέρα τῶν σιτίων, οὐδ' οὕτως ἄκαρπος ἡ ἀνατομή σοι γενήσεται· θεάσῃ γὰρ ἐπ' αὐτῶν, ὅπερ ὀλίγῳ πρόσθεν ἐλέγομεν, ἀκριβῶς μὲν μεμυκότα τὸν πυλωρόν, ἅπασαν δὲ τὴν γαστέρα περιεσταλμένην τοῖς σιτίοις τρόπον ὁμοιότατον, οἷόνπερ καὶ αἱ μῆτραι τοῖς κυουμένοις. οὐ γάρ ἔστιν οὐδέποτε κενὴν εὑρεῖν χώραν οὔτε κατὰ τὰς ὑστέρας οὔτε κατὰ τὴν κοιλίαν οὔτε κατὰ τὰς κύστεις ἀμφοτέρας οὔτε κατὰ τὴν χοληδόχον ὀνομαζομένην οὔτε τὴν ἑτέραν· ἀλλ' εἴτ' ὀλίγον εἴη τὸ περιεχόμενον ἐν αὐταῖς εἴτε πολύ, μεσταὶ καὶ πλήρεις αὐτῶν αἱ κοιλίαι φαίνονται περιστελλομένων ἀεὶ τῶν χιτώνων τοῖς περιεχομένοις, ὅταν γε κατὰ φύσιν ἔχῃ τὸ ζῷον. ||

157 Ἐρασίστρατος δ' οὐκ οἶδ' ὅπως τὴν περιστολὴν τῆς γαστρὸς ἁπάντων αἰτίαν ἀποφαίνει καὶ τῆς λειώσεως τῶν σιτίων καὶ τῆς τῶν περιττωμάτων ὑποχωρήσεως καὶ τῆς τῶν κεχυλωμένων ἀναδόσεως.

Ἐγὼ μὲν γὰρ μυριάκις ἐπὶ ζῶντος ἔτι τοῦ ζῴου διελὼν τὸ περιτόναιον εὗρον ἀεὶ τὰ μὲν ἔντερα πάντα περιστελλόμενα τοῖς ἐνυπάρχουσι, τὴν κοιλίαν δ' οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ μὲν ταῖς ἐδωδαῖς ἄνωθέν τε καὶ κάτωθεν αὐτὰ καὶ πανταχόθεν ἀκρι-

---

[1] *Choledochous.* [2] More exactly *peristolé*; *cf.* p. 97, note 1.
[3] Neuburger says of Erasistratus that "dissection had taught him to think in terms of anatomy." It was chiefly

yourself in an animal, if you will try to hit upon the time at which the descent of food from the stomach takes place. But even if you should fail to discover the time, and nothing was yet passing down, and the food was still undergoing digestion in the stomach, still even then you would find dissection not without its uses. You will observe, as we have just said, that the pylorus is accurately closed, and that the whole stomach is in a state of contraction upon the food very much as the womb contracts upon the foetus. For it is never possible to find a vacant space in the uterus, the stomach, or in either of the two bladders—that is, either in that called bile-receiving[1] or in the other; whether their contents be abundant or scanty, their cavities are seen to be replete and full, owing to the fact that their coats contract constantly upon the contents—so long, at least, as the animal is in a natural condition.

Now Erasistratus for some reason declares that it is the contractions[2] of the stomach which are the cause of everything—that is to say, of the softening of the food,[3] the removal of waste matter, and the absorption of the food when chylified [emulsified].

Now I have personally, on countless occasions, divided the peritoneum of a still living animal and have always found all *the intestines* contracting peristaltically[4] upon their contents. The condition of *the stomach*, however, is found less simple; as regards the substances freshly swallowed, it had grasped these accurately both above and below, in fact at every point, and was as devoid of movement

the gross movements or structure of organs with which he concerned himself. Where an organ had no obvious function, he dubbed it "useless"; *e.g.* the spleen (*cf.* p. 143).

[4] *i.e.* contracting and dilating; no longitudinal movements involved; *cf.* p. 263, note 2.

βῶς περιειληφυῖαν ἀκίνητον, ὡς δοκεῖν ἡνῶσθαι καὶ περιπεφυκέναι τοῖς σιτίοις· ἐν δὲ τούτῳ καὶ τὸν πυλωρὸν εὕρισκον ἀεὶ μεμυκότα καὶ κεκλεισμένον ἀκριβῶς ὥσπερ τὸ τῶν ὑστερῶν στόμα ταῖς ἐγκύμοσιν.

Ἐπὶ μέντοι ταῖς πέψεσι συμπεπληρωμέναις ἀνέῳκτο μὲν ὁ πυλωρός, ἡ γαστὴρ δὲ περισταλτικῶς ἐκινεῖτο παραπλησίως τοῖς ἐντέροις.

## V

Ἄπαντ᾽ οὖν ἀλλήλοις ὁμολογεῖ ταῦτα καὶ τῇ γαστρὶ καὶ ταῖς ὑστέραις καὶ ταῖς κύστεσιν εἶναί τινας ἐμφύτους δυνάμεις καθεκτικὰς μὲν τῶν
158 οἰκείων ποιοτήτων, ‖ ἀποκριτικὰς δὲ τῶν ἀλλοτρίων. ὅτι μὲν γὰρ ἕλκει τὴν χολὴν εἰς ἑαυτὴν ἡ ἐπὶ τῷ ἥπατι κύστις, ἔμπροσθεν δέδεικται, ὅτι δὲ καὶ ἀποκρίνει καθ᾽ ἑκάστην ἡμέραν εἰς τὴν γαστέρα, καὶ τοῦτ᾽ ἐναργῶς φαίνεται. καὶ μὴν εἰ διεδέχετο τὴν ἑλκτικὴν δύναμιν ἡ ἐκκριτικὴ καὶ μὴ μέση τις ἀμφοῖν ἦν ἡ καθεκτική, διὰ παντὸς ἐχρῆν ἀνατεμνομένων τῶν ζῴων ἴσον πλῆθος χολῆς εὑρίσκεσθαι κατὰ τὴν κύστιν· οὐ μὴν εὑρίσκεταί γε. ποτὲ μὲν γὰρ πληρεστάτη, ποτὲ δὲ κενοτάτη, ποτὲ δὲ τὰς ἐν τῷ μεταξὺ διαφορὰς ἔχουσα θεωρεῖται, καθάπερ καὶ ἡ ἑτέρα κύστις ἡ τὸ οὖρον ὑποδεχομένη. ταύτης μέν γε καὶ πρὸ τῆς ἀνατομῆς αἰσθανόμεθα, πρὶν ἀνιαθῆναι τῷ πλήθει βαρυνθεῖσαν ἢ τῇ δριμύτητι δηχθεῖσαν,

[1] *cf.* p. 282, note 1. [2] Book II., chaps. ii. and viii.

as though it had grown round and become united with the food.[1] At the same time I found the pylorus persistently closed and accurately shut, like the os uteri on the foetus.

In the cases, however, where digestion had been completed the pylorus had opened, and the stomach was undergoing peristaltic movements, similar to those of the intestines.

## V

Thus all these facts agree that the stomach, uterus, and bladders possess certain inborn faculties which are retentive of their own proper qualities and eliminative of those that are foreign. For it has been already shown[2] that the bladder by the liver draws bile into itself, while it is also quite obvious that it eliminates this daily into the stomach. Now, of course, if the eliminative were to succeed the attractive faculty and there were not a *retentive* faculty between the two, there would be found, on every occasion that animals were dissected, an equal quantity of bile in the gall-bladder. This however, we do not find. For the bladder is sometimes observed to be very full, sometimes quite empty, while at other times you find in it various intermediate degrees of fulness, just as is the case with the other bladder—that which receives the urine; for even without resorting to anatomy we may observe that the urinary bladder continues to collect urine up to the time that it becomes uncomfortable through the increasing quantity of urine or the irritation caused by its acidity—the presumption

ἀθροιζούσης ἔτι τὸ οὖρον, ὡς οὔσης τινὸς κἀνταῦθα δυνάμεως καθεκτικῆς.

Οὕτω δὲ καὶ ἡ γαστὴρ ὑπὸ δριμύτητος πολλάκις δηχθεῖσα πρωιαίτερον τοῦ δέοντος ἄπεπτον ἔτι τὴν τροφὴν ἀποτρίβεται. αὖθις δ' ἄν ποτε τῷ πλήθει βαρυνθεῖσα ἢ καὶ κατ' ἄμφω συνελθόντα κακῶς διατεθεῖσα διαρροίαις ἑάλω. καὶ μέν γε καὶ οἱ ἔμετοι, τῷ πλήθει βαρυνθείσης ||
159 αὐτῆς ἢ τὴν ποιότητα τῶν ἐν αὐτῇ σιτίων τε καὶ περιττωμάτων μὴ φερούσης, ἀνάλογόν τι ταῖς διαρροίαις πάθημα τῆς ἄνω γαστρός ἐστιν. ὅταν μὲν γὰρ ἐν τοῖς κάτω μέρεσιν αὐτῆς ἡ τοιαύτη γένηται διάθεσις, ἐρρωμένων τῶν κατὰ τὸν στόμαχον, εἰς διαρροίας ἐτελεύτησεν, ὅταν δ' ἐν τοῖς κατὰ τὸ στόμα, τῶν ἄλλων εὐρωστούντων, εἰς ἐμέτους.

## VI

Ἔνεστι δὲ καὶ τοῦτο πολλάκις ἐναργῶς ἰδεῖν ἐπὶ τῶν ἀποσίτων· ἀναγκαζόμενοι γὰρ ἐσθίειν οὔτε καταπίνειν εὐσθενοῦσιν οὔτ', εἰ καὶ βιάσαιντο, κατέχουσιν, ἀλλ' εὐθὺς ἀνεμοῦσι. καὶ οἱ ἄλλως δὲ τῶν ἐδεσμάτων πρὸς ὁτιοῦν δυσχεραίνοντες βιασθέντες ἐνίοτε προσάρασθαι ταχέως ἐξεμοῦσιν, ἢ εἰ κατάσχοιεν βιασάμενοι, ναυτιώδεις τ' εἰσὶ καὶ τῆς γαστρὸς ὑπτίας αἰσθάνονται καὶ σπευδούσης ἀποθέσθαι τὸ λυποῦν.

Οὕτως ἐξ ἁπάντων τῶν φαινομένων, ὅπερ ἐξ ἀρχῆς ἐρρέθη, μαρτυρεῖται τὸ δεῖν ὑπάρχειν τοῖς τοῦ ζῴου μορίοις σχεδὸν ἅπασιν ἔφεσιν μέν τινα

thus being that here, too, there is a retentive faculty.

Similarly, too, the stomach, when, as often happens, it is irritated by acidity, gets rid of the food, although still undigested, earlier than proper; or again, when oppressed by the quantity of its contents, or disordered from the co-existence of both conditions, it is seized with *diarrhoea*. *Vomiting* also is an affection of the upper [part of the] stomach analogous to diarrhoea, and it occurs when the stomach is overloaded or is unable to stand the quality of the food or surplus substances which it contains. Thus, when such a condition develops in the lower parts of the stomach, while the parts about the inlet are normal, it ends in diarrhoea, whereas if this condition is in the upper stomach, the lower parts being normal, it ends in vomiting.

## VI

This may often be clearly observed in those who are disinclined for food; when obliged to eat, they have not the strength to swallow, and, even if they force themselves to do so, they cannot retain the food, but at once vomit it up. And those especially who have a dislike to some particular kind of food, sometimes take it under compulsion, and then promptly bring it up; or, if they force themselves to keep it down, they are nauseated and feel their stomach turned up, and endeavouring to relieve itself of its discomfort.

Thus, as was said at the beginning, all the observed facts testify that there must exist in almost all parts of the animal a certain inclination towards, or, so to

καὶ οἷον ὄρεξιν τῆς οἰκείας ποιότητος, ἀποστροφὴν
160 δέ τινα || καὶ οἷον μῖσός τι τῆς ἀλλοτρίας. ἀλλ' ἐφιέμενα μὲν ἕλκειν εὔλογον, ἀποστρεφόμενα δ' ἐκκρίνειν.

Κἀκ τούτων πάλιν ἥ θ' ἑλκτικὴ δύναμις ἀποδείκνυται καθ' ἅπαν ὑπάρχουσα καὶ ἡ προωστική.

'Αλλ' εἴπερ ἔφεσίς τέ τίς ἐστι καὶ ἕλξις, εἴη ἄν τις καὶ ἀπόλαυσις· οὐδὲν γὰρ τῶν ὄντων ἕλκει τι δι' αὐτὸ τὸ ἕλκειν, ἀλλ' ἵν' ἀπολαύσῃ τοῦ διὰ τῆς ὁλκῆς εὐπορηθέντος. καὶ μὴν ἀπολαύειν οὐ δύναται μὴ κατασχόν. κἀν τούτῳ πάλιν ἡ καθεκτικὴ δύναμις ἀποδείκνυται τὴν γένεσιν ἀναγκαίαν ἔχουσα· σαφῶς γὰρ ἐφίεται μὲν τῶν οἰκείων ποιοτήτων ἡ γαστήρ, ἀποστρέφεται δὲ τὰς ἀλλοτρίας.

'Αλλ' εἴπερ ἐφίεταί τε καὶ ἕλκει καὶ ἀπολαύει κατέχουσα καὶ περιστελλομένη, εἴη ἄν τι καὶ πέρας αὐτῇ τῆς ἀπολαύσεως κἀπὶ τῷδ' ὁ καιρὸς ἤδη τῆς ἐκκριτικῆς δυνάμεως ἐνεργούσης.

## VII

'Αλλ' εἰ καὶ κατέχει καὶ ἀπολαύει, καταχρῆται πρὸς ὃ πέφυκε. πέφυκε δὲ τοῦ προσ-
161 ήκοντος ἑαυτῇ || κατὰ ποιότητα καὶ οἰκείου

---

[1] Note use of psychological terms in biology. *cf.* also p. 133, note 3.

[2] "In everything." *cf.* p. 66, note 3.

speak, an appetite for their own special quality, and an aversion to, or, as it were, a hatred [1] of the foreign quality. And it is natural that when they feel an inclination they should attract, and that when they feel aversion they should expel.

From these facts, then, again, both the attractive and the propulsive faculties have been demonstrated to exist in everything.[2]

But if there be an inclination or attraction, there will also be some benefit derived; for no existing thing attracts anything else for the mere sake of attracting, but in order to benefit by what is acquired by the attraction. And of course it cannot benefit by it if it cannot retain it. Herein, then, again, the retentive faculty is shown to have its necessary origin: for the stomach obviously inclines towards its own proper qualities and turns away from those that are foreign to it.[3]

But if it aims at and attracts its food and benefits by it while retaining and contracting upon it, we may also expect that there will be some *termination* to the benefit received, and that thereafter will come the time for the exercise of the eliminative faculty.

## VII

But if the stomach both retains and benefits by its food, then it employs it for the end for which it [the stomach] naturally exists. And it exists to partake of that which is of a quality befitting and proper to

[3] Galen confuses the nutrition of organs with that of the ultimate living elements or cells; the stomach does not, of course, feed itself in the way a cell does. *cf.* Introduction, p. xxxii.

μεταλαμβάνειν· ὥσθ' ἕλκει τῶν σιτίων ὅσον χρηστότατον ἀτμωδῶς τε καὶ κατὰ βραχὺ καὶ τοῦτο τοῖς ἑαυτῆς χιτῶσιν ἐναποτίθεταί τε καὶ προστίθησιν. ὅταν δ' ἱκανῶς ἐμπλησθῇ, καθάπερ ἄχθος τι τὴν λοιπὴν ἀποτίθεται τροφὴν ἐσχηκυῖάν τι χρηστὸν ἤδη καὶ αὐτὴν ἐκ τῆς πρὸς τὴν γαστέρα κοινωνίας· οὐδὲ γὰρ ἐνδέχεται δύο σώματα δρᾶν καὶ πάσχειν ἐπιτήδεια συνελθόντα μὴ οὐκ ἤτοι πάσχειν θ' ἅμα καὶ δρᾶν ἢ θάτερον μὲν δρᾶν, θάτερον δὲ πάσχειν. ἐὰν μὲν γὰρ ἰσάζῃ ταῖς δυνάμεσιν, ἐξ ἴσου δράσει τε καὶ πείσεται, ἂν δ' ὑπερέχῃ πολὺ καὶ κρατῇ θάτερον, ἐνεργήσει περὶ τὸ πάσχον· ὥστε δράσει μέγα μέν τι καὶ αἰσθητόν, αὐτὸ δ' ἤτοι σμικρόν τι καὶ οὐκ αἰσθητὸν ἢ παντάπασιν οὐδὲν πείσεται. ἀλλ' ἐν τούτῳ δὴ καὶ μάλιστα διήνεγκε φαρμάκου δηλητηρίου τροφή· τὸ μὲν γὰρ κρατεῖ τῆς ἐν τῷ σώματι δυνάμεως, ἡ δὲ κρατεῖται.

Οὔκουν ἐνδέχεται τροφὴν μὲν εἶναί τι τῷ ζῴῳ προσήκουσαν, οὐ μὴν καὶ κρατεῖσθαί γ' ὁμοίως
162 πρὸς τῶν || ἐν τῷ ζῴῳ ποιοτήτων· τὸ κρατεῖσθαι δ' ἦν ἀλλοιοῦσθαι. ἀλλ' ἐπεὶ τὰ μὲν ἰσχυρότερα ταῖς δυνάμεσίν ἐστι μόρια, τὰ δ' ἀσθενέστερα, κρατήσει μὲν πάντα τῆς οἰκείας τῷ ζῴῳ τροφῆς, οὐχ ὁμοίως δὲ πάντα· κρατήσει δ' ἄρα καὶ ἡ γαστὴρ καὶ ἀλλοιώσει μὲν τὴν τροφήν, οὐ μὴν ὁμοίως ἥπατι καὶ φλεψὶ καὶ ἀρτηρίαις καὶ καρδίᾳ.

Πόσον οὖν ἐστιν, ὃ ἀλλοιοῖ, καὶ δὴ θεασώμεθα· πλέον μὲν ἢ κατὰ τὸ στόμα, μεῖον δ' ἢ κατὰ τὸ

[1] *cf.* Asclepiades's theory regarding the urine, p. 51.
[2] The process of *application* or *prosthesis*. *cf.* p. 223, note 3.

it. Thus it attracts all the most useful parts of the food in a vaporous[1] and finely divided condition, storing this up in its own coats, and applying[2] it to them. And when it is sufficiently full it puts away from it, as one might something troublesome, the rest of the food, this having itself meanwhile obtained some profit from its association with the stomach. For it is impossible for two bodies which are adapted for acting and being acted upon to come together without either both acting or being acted upon, or else one acting and the other being acted upon. For if their forces are equal they will act and be acted upon equally, and if the one be much superior in strength, it will exert its activity upon its passive neighbour; thus, while producing a great and appreciable effect, it will itself be acted upon either little or not at all. But it is herein also that the main difference lies between nourishing food and a deleterious drug; the latter masters the forces of the body, whereas the former is mastered by them.[3]

There cannot, then, be food which is suited for the animal which is not also correspondingly subdued by the qualities existing in the animal. And to be subdued means to undergo *alteration*.[4] Now, some parts are stronger in power and others weaker; therefore, while all will subdue the nutriment which is proper to the animal, they will not all do so equally. Thus the stomach will subdue and alter its food, but not to the same extent as will the liver, veins, arteries, and heart.

We must therefore observe to what extent it does alter it. The alteration is more than that which

[3] Mutual influence of organism and environment.

[4] Qualitative change. *cf.* Book I., chap. ii.

ἧπάρ τε καὶ τὰς φλέβας. αὕτη μὲν γὰρ ἡ ἀλλοίωσις εἰς αἵματος οὐσίαν ἄγει τὴν τροφήν, ἡ δ᾽ ἐν τῷ στόματι μεθίστησι μὲν αὐτὴν ἐναργῶς εἰς ἕτερον εἶδος, οὐ μὴν εἰς τέλος γε μετακοσμεῖ. μάθοις δ᾽ ἂν ἐπὶ τῶν ἐγκαταλειφθέντων ταῖς διαστάσεσι τῶν ὀδόντων σιτίων καὶ καταμεινάντων δι᾽ ὅλης νυκτός· οὔτε γὰρ ἄρτος ἀκριβῶς ὁ ἄρτος οὔτε κρέας ἐστὶ τὸ κρέας, ἀλλ᾽ ὄζει μὲν τοιοῦτον, οἷόνπερ καὶ τοῦ ζῴου τὸ στόμα, διαλέλυται δὲ καὶ διατέτηκε καὶ τὰς ἐν τῷ ζῴῳ τῆς σαρκὸς ἀπομέμακται ποιότητας. ἔνεστι δέ σοι
163 θεάσασθαι τὸ μέγεθος τῆς ἐν τῷ στόματι ‖ τῶν σιτίων ἀλλοιώσεως, εἰ πυροὺς μασησάμενος ἐπιθείης ἀπέπτοις δοθιῆσιν· ὄψει γὰρ αὐτοὺς τάχιστα μεταβάλλοντάς τε καὶ συμπέττοντας, οὐδὲν τοιοῦτον, ὅταν ὕδατι φυραθῶσιν, ἐργάσασθαι δυναμένους. καὶ μὴ θαυμάσῃς· τὸ γάρ τοι φλέγμα τουτὶ τὸ κατὰ τὸ στόμα καὶ λειχήνων ἐστὶν ἄκος καὶ σκορπίους ἀναιρεῖ παραχρῆμα καὶ πολλὰ τῶν ἰοβόλων θηρίων τὰ μὲν εὐθέως ἀποκτείνει, τὰ δ᾽ ἐς ὕστερον· ἅπαντα γοῦν βλάπτει μεγάλως. ἀλλὰ τὰ μεμασημένα σιτία πρῶτον μὲν τούτῳ τῷ φλέγματι βέβρεκταί τε καὶ πεφύραται, δεύτερον δὲ καὶ τῷ χρωτὶ τοῦ στόματος ἅπαντα πεπλησίακεν, ὥστε πλείονα μεταβολὴν εἴληφε τῶν ἐν ταῖς κεναῖς χώραις τῶν ὀδόντων ἐσφηνωμένων.

Ἀλλ᾽ ὅσον τὰ μεμασημένα τούτων ἐπὶ πλέον ἠλλοίωται, τοσοῦτον ἐκείνων τὰ καταποθέντα.

occurs in the mouth, but less than that in the liver and veins. For the latter alteration changes the nutriment into the *substance* of blood, whereas that in the mouth obviously changes it into a new *form*, but certainly does not completely transmute it. This you may discover in the food which is left in the intervals between the teeth, and which remains there all night; the bread is not exactly bread, nor the meat meat, for they have a smell similar to that of the animal's mouth, and have been disintegrated and dissolved, and have had the qualities of the animal's flesh impressed upon them. And you may observe the extent of the alteration which occurs to food in the mouth if you will chew some corn and then apply it to an unripe [undigested] boil: you will see it rapidly transmuting—in fact entirely digesting—the boil, though it cannot do anything of the kind if you mix it with water. And do not let this surprise you; this phlegm [saliva] in the mouth is also a cure for *lichens*[1]; it even rapidly destroys scorpions; while, as regards the animals which emit venom, some it kills at once, and others after an interval; to all of them in any case it does great damage. Now, the masticated food is all, firstly, soaked in and mixed up with this phlegm; and secondly, it is brought into contact with the actual skin of the mouth; thus it undergoes more change than the food which is wedged into the vacant spaces between the teeth.

But just as masticated food is more altered than the latter kind, so is food which has been swallowed more altered than that which has been merely

[1] Apparently skin-diseases in which a superficial crust (resembling the lichen on a tree-trunk) forms—*e.g.* psoriasis.

*μὴ γὰρ οὐδὲ παραβλητὸν ᾖ τὸ τῆς ὑπερβολῆς, εἰ τὸ κατὰ τὴν κοιλίαν ἐννοήσαιμεν φλέγμα καὶ χολὴν καὶ πνεῦμα καὶ θερμασίαν καὶ ὅλην τὴν οὐσίαν τῆς γαστρός. εἰ δὲ καὶ συνεπινοήσαις*
164 *αὐτῇ τὰ παρακείμενα ‖ σπλάγχνα καθάπερ τινὶ λέβητι μεγάλῳ πυρὸς ἑστίας πολλάς, ἐκ δεξιῶν μὲν τὸ ἧπαρ, ἐξ ἀριστερῶν δὲ τὸν σπλῆνα, τὴν καρδίαν δ' ἐκ τῶν ἄνω, σὺν αὐτῇ δὲ καὶ τὰς φρένας αἰωρουμένας τε καὶ διὰ παντὸς κινουμένας, ἐφ' ἅπασι δὲ τούτοις σκέπον τὸ ἐπίπλοον, ἐξαίσιόν τινα πεισθήσῃ τὴν ἀλλοίωσιν γίγνεσθαι τῶν εἰς τὴν γαστέρα καταποθέντων σιτίων.*

*Πῶς δ' ἂν ἠδύνατο ῥᾳδίως αἱματοῦσθαι μὴ προπαρασκευασθέντα τῇ τοιαύτῃ μεταβολῇ; δέδεικται γὰρ οὖν καὶ πρόσθεν, ὡς οὐδὲν εἰς τὴν ἐναντίαν ἀθρόως μεθίσταται ποιότητα. πῶς οὖν ὁ ἄρτος αἷμα γίγνεται, πῶς δὲ τὸ τεῦτλον ἢ ὁ κύαμος ἤ τι τῶν ἄλλων, εἰ μὴ πρότερόν τιν' ἑτέραν ἀλλοίωσιν ἐδέξατο; πῶς δ' ἡ κόπρος ἐν τοῖς λεπτοῖς ἐντέροις ἀθρόως γεννηθήσεται; τί γὰρ ἐν τούτοις σφοδρότερον εἰς ἀλλοίωσίν ἐστι τῶν κατὰ τὴν γαστέρα; πότερα τῶν χιτώνων τὸ πλῆθος ἢ τῶν γειτνιώντων σπλάγχνων ἡ περίθεσις ἢ τῆς μονῆς ὁ χρόνος ἢ σύμφυτός τις ἐν τοῖς ὀργάνοις θερμασία; καὶ μὴν κατ' οὐδὲν τούτων πλεονεκτεῖ τὰ ἔντερα τῆς γαστρός. τί ποτ' οὖν ἐν μὲν τῇ*
165 *γαστρὶ νυκτὸς ‖ ὅλης πολλάκις μείναντα τὸν ἄρτον ἔτι φυλάττεσθαι βούλονται τὰς ἀρχαίας διασῴζοντα ποιότητας, ἐπειδὰν δ' ἅπαξ ἐμπέσῃ*

[1] Note especially pneuma and innate heat, which practically stand for oxygen and the heat generated in oxidation; *cf.* p. 41, note 3.

[2] Book I., chap. x.

masticated. Indeed, there is no comparison between these two processes; we have only to consider what the stomach contains—phlegm, bile, pneuma, [innate] heat,[1] and, indeed the whole substance of the stomach. And if one considers along with this the adjacent viscera, like a lot of burning hearths around a great cauldron—to the right the liver, to the left the spleen, the heart above, and along with it the diaphragm (suspended and in a state of constant movement), and the omentum sheltering them all—you may believe what an extraordinary alteration it is which occurs in the food taken into the stomach.

How could it easily become blood if it were not previously prepared by means of a change of this kind? It has already been shown[2] that nothing is altered all at once from one quality to its opposite. How then could bread, beef, beans, or any other food turn into blood if they had not previously undergone some other alteration? And how could the faeces be generated right away in the small intestine?[3] For what is there in this organ more potent in producing alteration than the factors in the stomach? Is it the number of the coats, or the way it is surrounded by neighbouring viscera, or the time that the food remains in it, or some kind of innate heat which it contains? Most assuredly the intestines have the advantage of the stomach in none of these respects. For what possible reason, then, will objectors have it that bread may often remain a whole night in the stomach and still preserve its original qualities, whereas when once it is projected into the

[3] That is to say, faeces are obviously altered food. This alteration cannot have taken place entirely in the small intestine: therefore alteration of food must take place in the stomach.

τοῖς ἐντέροις, εὐθὺς γίγνεσθαι κόπρον; εἰ μὲν γὰρ ὁ τοσοῦτος χρόνος ἀδύνατος ἀλλοιοῦν, οὐδ' ὁ βραχὺς ἱκανός· εἰ δ' οὗτος αὐτάρκης, πῶς οὐ πολὺ μᾶλλον ὁ μακρός; ἆρ' οὖν ἀλλοιοῦται μὲν ἡ τροφὴ κατὰ τὴν κοιλίαν, ἄλλην δέ τιν' ἀλλοίωσιν καὶ οὐχ οἵαν ἐκ τῆς φύσεως ἴσχει τοῦ μεταβάλλοντος ὀργάνου; ἢ ταύτην μέν, οὐ μὴν τήν γ' οἰκείαν τῷ τοῦ ζῴου σώματι; μακρῷ τοῦτ' ἀδυνατώτερόν ἐστι. καὶ μὴν οὐκ ἄλλο γ' ἦν ἡ πέψις ἢ ἀλλοίωσις εἰς τὴν οἰκείαν τοῦ τρεφομένου ποιότητα. εἴπερ οὖν ἡ πέψις τοῦτ' ἔστι καὶ ἡ τροφὴ κατὰ τὴν γαστέρα δέδεικται δεχομένη ποιότητα τῷ μέλλοντι πρὸς αὐτῆς θρέψεσθαι ζῴῳ προσήκουσαν, ἱκανῶς ἀποδέδεικται τὸ πέττεσθαι κατὰ τὴν γαστέρα τὴν τροφήν.

Καὶ γελοῖος μὲν Ἀσκληπιάδης οὔτ' ἐν ταῖς ἐρυγαῖς λέγων ἐμφαίνεσθαί ποτε τὴν ποιότητα τῶν πεφθέντων σιτίων οὔτ' ἐν τοῖς ἐμέτοις οὔτ'
166 ἐν ταῖς ἀνα||τομαῖς· αὐτὸ γὰρ δὴ τὸ τοῦ σώματος ἐξόζειν αὐτὰ τῆς κοιλίας ἐστὶ τὸ πεπέφθαι. ὁ δ' οὕτως ἐστὶν εὐήθης, ὥστ', ἐπειδὴ τῶν παλαιῶν ἀκούει λεγόντων ἐπὶ τὸ χρηστὸν ἐν τῇ γαστρὶ μεταβάλλειν τὰ σιτία, δοκιμάζει ζητεῖν οὐ τὸ κατὰ δύναμιν ἀλλὰ τὸ κατὰ γεῦσιν χρηστόν, ὥσπερ ἢ τοῦ μήλου μηλωδεστέρου—χρὴ γὰρ οὕτως αὐτῷ διαλέγεσθαι—γιγνομένου κατὰ τὴν κοιλίαν ἢ τοῦ μέλιτος μελιτωδεστέρου.

---

[1] *cf.* p. 39.

[2] Asclepiades held that there was no such thing as real

intestines, it straightway becomes ordure? For, if such a long period of time is incapable of altering it, neither will the short period be sufficient, or, if the latter is enough, surely the longer time will be much more so! Well, then, can it be that, while the nutriment does undergo an alteration in the stomach, this is a different kind of alteration and one which is not dependent on the nature of the organ which alters it? Or if it be an alteration of this latter kind, yet one perhaps which is not proper to the body of the animal? This is still more impossible. Digestion was shown to be nothing else than an alteration to the quality proper to that which is receiving nourishment.[1] Since, then, this is what digestion means and since the nutriment has been shown to take on in the stomach a quality appropriate to the animal which is about to be nourished by it, it has been demonstrated adequately that nutriment does undergo digestion in the stomach.

And Asclepiades is absurd when he states that the quality of the digested food never shows itself either in eructations or in the vomited matter, or on dissection.[2] For of course the mere fact that the food smells of the body shows that it has undergone gastric digestion. But this man is so foolish that, when he hears the Ancients saying that the food is converted in the stomach into something "good," he thinks it proper to look out not for what is good in its possible effects, but for what is *good to the taste*. this is like saying that apples (for so one has to argue with him) become more apple-like [in flavour] in the stomach, or honey more honey-like!

qualitative change; the food was merely broken up into its constituent molecules, and absorbed unaltered. *cf.* p. 49, note 5.

Πολὺ δ' εὐηθέστερός ἐστι καὶ γελοιότερος ὁ Ἐρασίστρατος ἢ μὴ νοῶν, ὅπως εἴρηται πρὸς τῶν παλαιῶν ἡ πέψις ἑψήσει παραπλήσιος ὑπάρχειν, ἢ ἑκὼν σοφιζόμενος ἑαυτόν. ἑψήσει μὲν οὖν, φησίν, οὕτως ἐλαφρὰν ἔχουσαν θερμασίαν οὐκ εἰκὸς εἶναι παραπλησίαν τὴν πέψιν, ὥσπερ ἢ τὴν Αἴτνην δέον ὑποθεῖναι τῇ γαστρὶ ἢ ἄλλως αὐτῆς ἀλλοιῶσαι τὰ σιτία μὴ δυναμένης ἢ δυναμένης μὲν ἀλλοιοῦν, οὐ κατὰ τὴν ἔμφυτον δὲ θερμασίαν, ὑγρὰν οὖσαν δηλονότι καὶ διὰ τοῦθ' ἕψειν οὐκ ὀπτᾶν εἰρημένην.

Ἐχρῆν δ' αὐτόν, εἴπερ περὶ πραγμάτων ἀντιλέγειν ἐβούλετο, πειραθῆναι δεῖξαι μάλιστα μὲν
167 καὶ ‖ πρῶτον, ὡς οὐδὲ μεταβάλλει τὴν ἀρχὴν οὐδ' ἀλλοιοῦται κατὰ ποιότητα πρὸς τῆς γαστρὸς τὰ σιτία, δεύτερον δ', εἴπερ μὴ οἷός τ' ἦν τοῦτο πιστώσασθαι, τὸ τὴν ἀλλοίωσιν αὐτῶν ἄχρηστον εἶναι τῷ ζῴῳ· εἰ δὲ μηδὲ τοῦτ' εἶχε διαβάλλειν, ἐξελέγξαι τὴν περὶ τὰς δραστικὰς ἀρχὰς ὑπόληψιν καὶ δεῖξαι τὰς ἐνεργείας ἐν τοῖς μορίοις οὐ διὰ τὴν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ ποιὰν κρᾶσιν ὑπάρχειν ἀλλὰ δι' ἄλλο τι· εἰ δὲ μηδὲ τοῦτ' ἐτόλμα διαβάλλειν, ἀλλ' ὅτι γε μὴ τὸ θερμόν ἐστιν ἐν τοῖς ὑπὸ φύσεως διοικουμένοις τὸ τῶν ἄλλων δραστικώτατον. ἢ εἰ μήτε τοῦτο μήτε τῶν ἄλλων τι τῶν ἔμπροσθεν εἶχεν ἀποδεικνύναι, μὴ ληρεῖν ὀνόματι προσπαλαίοντα

---

[1] *i.e.* denial of forethought in the Physis.

Erasistratus, however, is still more foolish and absurd, either through not perceiving in what sense the Ancients said that digestion is similar to the process of *boiling*, or because he purposely confused himself with sophistries. It is, he says, inconceivable that digestion, involving as it does such trifling warmth, should be related to the boiling process. This is as if we were to suppose that it was necessary to put the fires of Etna under the stomach before it could manage to alter the food; or else that, while it was capable of altering the food, it did not do this by virtue of its innate heat, which of course was moist, so that the word *boil* was used instead of *bake*.

What he ought to have done, if it was facts that he wished to dispute about, was to have tried to show, first and foremost, that the food is not transmuted or altered in quality by the stomach at all, and secondly, if he could not be confident of this, he ought to have tried to show that this alteration was not of any advantage to the animal.[1] If, again, he were unable even to make this misrepresentation, he ought to have attempted to confute the postulate concerning *the active principles*—to show, in fact, that the functions taking place in the various parts do not depend on the way in which the Warm, Cold, Dry, and Moist are mixed, but on some other factor. And if he had not the audacity to misrepresent facts even so far as this, still he should have tried at least to show that the Warm is not the most active of all the principles which play a part in things governed by Nature. But if he was unable to demonstrate this any more than any of the previous propositions, then he ought not to have made himself ridiculous by quarrelling uselessly

μάτην, ὥσπερ οὐ σαφῶς Ἀριστοτέλους ἔν τ' ἄλλοις πολλοῖς κἂν τῷ τετάρτῳ τῶν μετεωρολογικῶν ὅπως ἡ πέψις ἑψήσει παραπλήσιος εἶναι λέγεται, καὶ ὅτι μὴ πρώτως μηδὲ κυρίως ὀνομαζόντων, εἰρηκότος.

Ἀλλ', ὡς ἤδη λέλεκται πολλάκις, ἀρχὴ τούτων ἁπάντων ἐστὶ μία τὸ περὶ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ διασκέψασθαι, καθάπερ Ἀριστοτέλης ἐποίησεν ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ
168 φθορᾶς, ἀπο||δείξας ἁπάσας τὰς κατὰ τὰ σώματα μεταβολὰς καὶ ἀλλοιώσεις ὑπὸ τούτων γίγνεσθαι. ἀλλ' Ἐρασίστρατος οὔτε τούτοις οὔτ' ἄλλῳ τινὶ τῶν προειρημένων ἀντειπὼν ἐπὶ τοὔνομα μόνον ἐτράπετο τῆς ἑψήσεως.

## VIII

Ἐπὶ μὲν οὖν τῆς πέψεως, εἰ καὶ τἆλλα πάντα παρέλιπε, τὸ γοῦν ὅτι διαφέρει τῆς ἐκτὸς ἑψήσεως ἡ ἐν τοῖς ζῴοις πέψις, ἐπειράθη δεικνύναι, περὶ δὲ τῆς καταπόσεως οὐδ' ἄχρι τοσούτου. τί γάρ φησιν;

"Ὁλκὴ μὲν οὖν τῆς κοιλίας οὐδεμία φαίνεται εἶναι."

Καὶ μὴν δύο χιτῶνας ἡ γαστὴρ ἔχει πάντως ἕνεκά του γεγονότας καὶ διήκουσιν οὗτοι μέχρι τοῦ στόματος, ὁ μὲν ἔνδον, οἷός ἐστι κατὰ τὴν γαστέρα, τοιοῦτος διαμένων, ὁ δ' ἕτερος ἐπὶ τὸ

with a mere name—as though Aristotle had not clearly stated in the fourth book of his "Meteorology," as well as in many other passages, in what way digestion can be said to be allied to boiling, and also that the latter expression is not used in its primitive or strict sense.

But, as has been frequently said already,[1] the one starting-point of all this is a thoroughgoing enquiry into the question of the Warm, Cold, Dry and Moist; this Aristotle carried out in the second of his books "On Genesis and Destruction," where he shows that all the transmutations and alterations throughout the body take place as a result of these principles. Erasistratus, however, advanced nothing against these or anything else that has been said above, but occupied himself merely with the word "boiling."

## VIII

Thus, as regards *digestion*, even though he neglected everything else, he did at least attempt to prove his point—namely, that digestion in animals differs from boiling carried on outside; in regard to the question of *deglutition*, however, he did not go even so far as this. What are his words?

"The stomach does not appear to exercise any traction." [2]

Now the fact is that the stomach possesses two coats, which certainly exist for some purpose; they extend as far as the mouth, the internal one remaining throughout similar to what it is in the stomach, and the other one tending to become of a more fleshy

[1] *v.* p. 9, *et passim.* [2] *cf.* p. 97.

σαρκωδέστερον ἐν τῷ στομάχῳ τρεπόμενος. ὅτι μὲν οὖν ἐναντίας ἀλλήλαις τὰς ἐπιβολὰς τῶν ἰνῶν ἔχουσιν οἱ χιτῶνες οὗτοι, τὸ φαινόμενον αὐτὸ μαρτυρεῖ. τίνος δ' ἕνεκα τοιοῦτοι γεγόνασιν, Ἐρασίστρατος μὲν οὐδ' ἐπεχείρησεν εἰπεῖν, ἡμεῖς δ' ἐροῦμεν.

Ὁ μὲν ἔνδον εὐθείας ἔχει τὰς ἶνας, ὁλκῆς γὰρ
169 ἕνεκα γέ||γονεν· ὁ δ' ἔξωθεν ἐγκαρσίας ὑπὲρ τοῦ κατὰ κύκλον περιστέλλεσθαι· ἑκάστῳ γὰρ τῶν κινουμένων ὀργάνων ἐν τοῖς σώμασι κατὰ τὰς τῶν ἰνῶν θέσεις αἱ κινήσεις εἰσίν. ἐπ' αὐτῶν δὲ πρῶτον τῶν μυῶν, εἰ βούλει, βασάνισον τὸν λόγον, ἐφ' ὧν καὶ αἱ ἶνες ἐναργέσταται καὶ αἱ κινήσεις αὐτῶν ὁρῶνται διὰ σφοδρότητα. μετὰ δὲ τοὺς μῦς ἐπὶ τὰ φυσικὰ τῶν ὀργάνων ἴθι καὶ πάντ' ὄψει κατὰ τὰς ἶνας κινούμενα καὶ διὰ τοῦθ' ἑκάστῳ μὲν τῶν ἐντέρων στρογγύλαι καθ' ἑκάτερον τῶν χιτώνων αἱ ἶνές εἰσι· περιστέλλονται γὰρ μόνον, ἕλκουσι δ' οὐδέν. ἡ γαστὴρ δὲ τῶν ἰνῶν τὰς μὲν εὐθείας ἔχει χάριν ὁλκῆς, τὰς δ' ἐγκαρσίας ἕνεκα περιστολῆς· ὥσπερ γὰρ ἐν τοῖς μυσὶν ἑκάστης τῶν ἰνῶν τεινομένης τε καὶ πρὸς τὴν ἀρχὴν ἑλκομένης αἱ κινήσεις γίγνονται, κατὰ τὸν αὐτὸν λόγον κἀν τῇ γαστρί· τῶν μὲν οὖν ἐγκαρσίων ἰνῶν τεινομένων ἔλαττον ἀνάγκη γί-

[1] It appears to me, from comparison between this and other passages in Galen's writings (notably *Use of Parts*, iv., 8), that he means by the "two coats" simply the mucous and the muscular coats. In this case the "straight" or "longitudinal" fibres of the inner coat would be the *rugae*; the "circular" fibres of the inner intestinal coat would be the *valvulae conniventes*.

nature in the gullet. Now simple observation will testify that these coats have their fibres inserted in contrary directions.[1] And, although Erasistratus did not attempt to say for what reason they are like this, I am going to do so.

The inner coat has its fibres straight, since it exists for the purpose of traction. The outer coat has its fibres transverse, for the purpose of peristalsis.[2] In fact, the movements of each of the *mobile* organs of the body depend on the setting of the fibres. Now please test this assertion first in the muscles themselves; in these the fibres are most distinct, and their movements visible owing to their vigour. And after the muscles, pass to the *physical* organs,[3] and you will see that they all move in correspondence with their fibres. This is why the fibres throughout the intestines are circular in both coats—they only contract peristaltically, they do not exercise traction. The stomach, again, has some of its fibres longitudinal for the purpose of traction and the others transverse for the purpose of peristalsis.[2] For just as the movements in the muscles[4] take place when each of the fibres becomes tightened and drawn towards its origin, such also is what happens in the stomach; when the transverse fibres tighten, the breadth of

[2] The term here rendered *peristalsis* is *peristolé* in Greek; it is applied only to the intermittent movements of muscles placed circularly round a lumen or cavity, and comprehends *systolé* or contraction and *diastolé* or dilatation. In its modern significance, *peristalsis*, however, also includes the movements of *longitudinal* fibres. *cf.* p. 97, note 1.

[3] *i.e.* those containing non-striped or "involuntary" muscle fibres; organs governed by the "natural" pneuma; *cf.* p. 186, note 3.

[4] By this term is meant only what we should call the "voluntary" muscles.

γνεσθαι τὸ εὖρος τῆς περιεχομένης ὑπ' αὐτῶν κοιλότητος, τῶν δ' εὐθειῶν ἑλκομένων τε καὶ εἰς ἑαυτὰς συναγομένων οὐκ ἐνδέχεται μὴ οὐ συναι-
170 ρεῖσθαι τὸ μῆκος. ἀλλὰ μὴν ‖ ἐναργῶς γε φαίνεται καταπινόντων συναιρούμενον καὶ τοσοῦτον ὁ λάρυγξ ἀνατρέχων, ὅσον ὁ στόμαχος κατασπᾶται, καὶ ὅταν γε συμπληρωθείσης τῆς ἐν τῷ καταπίνειν ἐνεργείας ἀφεθῇ τῆς τάσεως ὁ στόμαχος, ἐναργῶς πάλιν φαίνεται καταφερόμενος ὁ λάρυγξ· ὁ γὰρ ἔνδον χιτὼν τῆς γαστρὸς ὁ τὰς εὐθείας ἶνας ἔχων ὁ καὶ τὸν στόμαχον ὑπαλείφων καὶ τὸ στόμα τοῖς ἐντὸς μέρεσιν ἐπεκτείνεται τοῦ λάρυγγος, ὥστ' οὐκ ἐνδέχεται κατασπώμενον αὐτὸν ὑπὸ τῆς κοιλίας μὴ οὐ συνεπισπᾶσθαι καὶ τὸν λάρυγγα.

Ὅτι δ' αἱ περιφερεῖς ἶνες, αἷς περιστέλλεται τά τ' ἄλλα μόρια καὶ ἡ γαστήρ, οὐ συναιροῦσι τὸ μῆκος, ἀλλὰ συστέλλουσι καὶ στενοῦσι τὴν εὐρύτητα, καὶ παρ' αὐτοῦ λαβεῖν ἔστιν ὁμολογούμενον Ἐρασιστράτου· περιστέλλεσθαι γάρ φησι τοῖς σιτίοις τὴν γαστέρα κατὰ τὸν τῆς πέψεως ἅπαντα χρόνον. ἀλλ' εἰ περιστέλλεται μέν, οὐδὲν δὲ τοῦ μήκους ἀφαιρεῖται τῆς κοιλίας, οὐκ ἔστι τῆς περισταλτικῆς κινήσεως ἴδιον τὸ κατασπᾶν κάτω τὸν στόμαχον. ὅπερ γὰρ αὐτὸς ὁ Ἐρασίστρατος εἶπε, τοῦτο μόνον αὐτὸ συμ-
171 βήσεται τὸ τῶν ἄνω συστελ‖λομένων διαστέλλεσθαι τὰ κάτω. τοῦτο δ' ὅτι, κἂν εἰς νεκροῦ τὸν στόμαχον ὕδατος ἐγχέῃς, φαίνεται γιγνόμενον, οὐδεὶς ἀγνοεῖ. ταῖς γὰρ τῶν ὑλῶν διὰ στενοῦ

[1] cf. p. 97.

the cavity contained by them becomes less; and when the longitudinal fibres contract and draw in upon themselves, the length must necessarily be curtailed. This curtailment of length, indeed, is well seen in the act of swallowing: the larynx is seen to rise upwards to exactly the same degree that the gullet is drawn downwards; while, after the process of swallowing has been completed and the gullet is released from tension, the larynx can be clearly seen to sink down again. This is because the inner coat of the stomach, which has the longitudinal fibres and which also lines the gullet and the mouth, extends to the interior of the larynx, and it is thus impossible for it to be drawn down by the stomach without the larynx being involved in the traction.

Further, it will be found acknowledged in Erasistratus's own writings that the circular fibres (by which the stomach as well as other parts performs its contractions) do not curtail its length, but contract and lesson its breadth. For he says that the stomach contracts peristaltically round the food during the whole period of digestion. But if it contracts, without in any way being diminished in length, this is because downward traction of the gullet is not a property of the movement of circular peristalsis. For what alone happens, as Erasistratus himself said, is that when the upper parts contract the lower ones dilate.[1] And everyone knows that this can be plainly seen happening even in a dead man, if water be poured down his throat; this symptom[2] results from the passage of matter through a narrow

[2] For "symptom." *cf* p. 13, and p. 12. note 3. "Transitum namque materiae per angustum corpus id accidens consequitur" (Linacre). Less a "result" or "consequence" than an "accompaniment."

*σώματος ὁδοιπορίαις ἀκόλουθόν ἐστι τὸ σύμπτωμα· θαυμαστὸν γάρ, εἰ διερχομένου τινὸς αὐτὸν ὄγκου μὴ διασταλήσεται. οὐκοῦν τὸ μὲν τῶν ἄνω συστελλομένων διαστέλλεσθαι τὰ κάτω κοινόν ἐστι καὶ τοῖς νεκροῖς σώμασι, δι' ὧν ὁπωσοῦν τι διεξέρχεται, καὶ τοῖς ζῶσιν, εἴτε περιστέλλοιτο τοῖς διερχομένοις εἴθ' ἕλκοιτο.*

Τὸ *δὲ τῆς τοῦ μήκους συναιρέσεως ἴδιον τῶν τὰς εὐθείας ἶνας ἐχόντων ὀργάνων, ἵν' ἐπισπάσωνταί τι. ἀλλὰ μὴν ἐδείχθη κατασπώμενος ὁ στόμαχος, οὐ γὰρ ἂν εἷλκε τὸν λάρυγγα· δῆλον οὖν, ὡς ἡ γαστὴρ ἕλκει τὰ σιτία διὰ τοῦ στομάχου.*

Καὶ *ἡ κατὰ τὸν ἔμετον δὲ τῶν ἐμουμένων ἄχρι τοῦ στόματος φορὰ πάντως μέν που καὶ αὐτὴ τὰ μὲν ὑπὸ τῶν ἀναφερομένων διατεινόμενα μέρη τοῦ στομάχου διεστῶτα κέκτηται, τῶν πρόσω δ' ὅ τι ἂν ἑκάστοτ' ἐπιλαμβάνηται, τοῦτ' ἀρχόμενον*
172 *διαστέλλεται, τὸ δ' ‖ ὄπισθεν καταλείπει δηλονότι*
*συστελλόμενον, ὥσθ' ὁμοίαν εἶναι πάντη τὴν διάθεσιν τοῦ στομάχου κατά γε τοῦτο τῇ τῶν καταπινόντων· ἀλλὰ τῆς ὁλκῆς μὴ παρούσης τὸ μῆκος ὅλον ἴσον ἐν τοῖς τοιούτοις συμπτώμασι διαφυλάττεται.*

*Διὰ τοῦτο δὲ καὶ καταπίνειν ῥᾷόν ἐστιν ἢ ἐμεῖν, ὅτι καταπίνεται μὲν ἀμφοῖν τῆς γαστρὸς τῶν χιτώνων ἐνεργούντων, τοῦ μὲν ἐντὸς ἕλκοντος, τοῦ δ' ἐκτὸς περιστελλομένου τε καὶ συνεπωθοῦντος, ἐμεῖται δὲ θατέρου μόνου τοῦ ἔξωθεν ἐνεργοῦντος,*

---

[1] *i.e.* this is a purely mechanical process.

channel; it would be extraordinary if the channel did not dilate when a mass was passing through it.[1] Obviously then the dilatation of the lower parts along with the contraction of the upper is common both to dead bodies, when anything whatsoever is passing through them, and to living ones, whether they contract peristaltically round their contents or attract them.[2]

Curtailment of length, on the other hand, is peculiar to organs which possess longitudinal fibres for the purpose of attraction. But the gullet was shown to be pulled down; for otherwise it would not have drawn upon the larynx. It is therefore clear that the stomach attracts food by the gullet.

Further, in *vomiting*, the mere passive conveyance of rejected matter up to the mouth will certainly itself suffice to keep open those parts of the oesophagus which are distended by the returned food; as it occupies each part in front [above], it first dilates this, and of course leaves the part behind [below] contracted. Thus, in this respect at least, the condition of the gullet is precisely similar to what it is in the act of swallowing.[3] But there being no *traction*, the whole length remains equal in such cases.

And for this reason it is easier to swallow than to vomit, for deglutition results from *both* coats of the stomach being brought into action, the inner one exerting a pull and the outer one helping by peristalsis and propulsion, whereas emesis occurs from the outer coat alone functioning, without there

[2] *i.e.* this phenomenon is a proof neither of *peristolé* nor of attraction. *cf.* p. 97, note 2.

[3] Contraction and dilatation of course being reversed.

οὐδενὸς ἕλκοντος εἰς τὸ στόμα. οὐ γὰρ δὴ ὥσπερ ἡ τῆς γαστρὸς ὄρεξις προηγεῖτο τοῦ καταπίνειν τὰ σιτία, τὸν αὐτὸν τρόπον κἀν τοῖς ἐμέτοις ἐπιθυμεῖ τι τῶν κατὰ τὸ στόμα μορίων τοῦ γιγνομένου παθήματος, ἀλλ' ἄμφω τῆς γαστρὸς αὐτῆς εἰσιν ἐναντίαι διαθέσεις, ὀρεγομένης μὲν καὶ προσιεμένης τὰ χρήσιμά τε καὶ οἰκεῖα, δυσχεραινούσης δὲ καὶ ἀποτριβομένης τὰ ἀλλότρια. διὸ καὶ τὸ καταπίνειν αὐτὸ τοῖς μὲν ἱκανῶς ὀρεγομένοις τῶν οἰκείων ἐδεσμάτων τῇ γαστρὶ τάχιστα γίγνεται, σαφῶς ἑλκούσης αὐτὰ καὶ κατασπώσης πρὶν ἢ μασηθῆναι, τοῖς δ' ἤτοι φάρμακόν τι κατ'
173 ἀνάγ||κην πίνουσιν ἢ σιτίον ἐν χώρᾳ φαρμάκου προσφερομένοις ἀνιαρὰ καὶ μόγις ἡ κατάποσις αὐτῶν ἐπιτελεῖται.

Δῆλος οὖν ἐστιν ἐκ τῶν εἰρημένων ὁ μὲν ἔνδον χιτὼν τῆς γαστρὸς ὁ τὰς εὐθείας ἔχων ἶνας τῆς ἐκ τοῦ στόματος εἰς αὐτὴν ὁλκῆς ἕνεκα γεγονὼς καὶ διὰ τοῦτ' ἐν ταῖς καταπόσεσι μόναις ἐνεργῶν, ὁ δ' ἔξωθεν ὁ τὰς ἐγκαρσίας ἔχων ἕνεκα μὲν τοῦ περιστέλλεσθαι τοῖς ἐνυπάρχουσι καὶ προωθεῖν αὐτὰ τοιοῦτος ἀποτελεσθείς, ἐνεργῶν δ' οὐδὲν ἧττον ἐν τοῖς ἐμέτοις ἢ ταῖς καταπόσεσιν. ἐναργέστατα δὲ μαρτυρεῖ τῷ λεγομένῳ καὶ τὸ κατὰ τὰς χάννας τε καὶ τοὺς συνόδοντας γιγνόμενον· εὑρίσκεται γὰρ ἐνίοτε τούτων ἡ γαστὴρ ἐν τῷ στόματι καθάπερ καὶ ὁ Ἀριστοτέλης ἐν ταῖς περὶ

[1] The *channa* is a kind of sea-perch; "a species of *Serranus*, either *S. scriba* or *S. cabrilla*" (D'Arcy W. Thompson). *cf.* Aristotle's *Nat. Hist.* (D'Arcy Thompson's edition, Oxford, 1910), IV., xi., 538 A, 20. The *synodont* "is not to be identified with certainty, but is supposed to be *Dentex vul-*

being any kind of pull towards the mouth. For, although the swallowing of food is ordinarily preceded by a feeling of desire on the part of the stomach, there is in the case of vomiting no corresponding desire from the mouth-parts for the experience; the two are opposite dispositions of the stomach itself; it yearns after and tends towards what is advantageous and proper to it, it loathes and rids itself of what is foreign. Thus the actual process of swallowing occurs very quickly in those who have a good appetite for such foods as are proper to the stomach; this organ obviously draws them in and down before they are masticated; whereas in the case of those who are forced to take a medicinal draught or who take food as medicine, the swallowing of these articles is accomplished with distress and difficulty.

From what has been said, then, it is clear that the inner coat of the stomach (that containing longitudinal fibres) exists for the purpose of exerting a pull from mouth to stomach, and that it is only in deglutition that it is active, whereas the external coat, which contains transverse fibres, has been so constituted in order that it may contract upon its contents and propel them forward; this coat furthermore, functions in vomiting no less than in swallowing. The truth of my statement is also borne out by what happens in the case of the *channae* and *synodonts*[1]; the stomachs of these animals are sometimes found in their mouths, as also Aristotle writes in his *History*

*garis*," that is, an edible Mediterranean perch. "It is not the stomach," adds Prof. Thompson, "but the air-bladder that gets everted and hangs out of the mouth in fishes, especially when they are hauled in from a considerable depth." *cf.* *H. A.*, VIII., ii., 591 B, 5.

*ζῴων ἔγραψεν ἱστορίαις καὶ προστίθησί γε τὴν αἰτίαν ὑπὸ λαιμαργίας αὐτοῖς τοῦτο συμβαίνειν φάσκων.*

*Ἔχει γὰρ ὧδε· κατὰ τὰς σφοδροτέρας ὀρέξεις ἄνω προστρέχει πᾶσι τοῖς ζῴοις ἡ γαστήρ, ὥστε τινὲς τοῦ πάθους αἴσθησιν ἐναργῆ σχόντες ἐξέρπειν αὐτοῖς φασι τὴν κοιλίαν, ἐνίων δὲ μασω-*
174 *μένων ἔτι καὶ μήπω || καλῶς ἐν τῷ στόματι τὰ σιτία κατεργασαμένων ἐξαρπάζει φανερῶς ἀκόντων. ἐφ᾽ ὧν οὖν ζῴων φύσει λαιμάργων ὑπαρχόντων ἥ τ᾽ εὐρυχωρία τοῦ στόματός ἐστι δαψιλὴς ἥ τε τῆς γαστρὸς θέσις ἐγγύς, ὡς ἐπὶ συνόδοντός τε καὶ χάννης, οὐδὲν θαυμαστόν, ὅταν ἱκανῶς πεινάσαντα διώκῃ τι τῶν μικροτέρων ζῴων, εἶτ᾽ ἤδη πλησίον ᾖ τοῦ συλλαβεῖν, ἀνατρέχειν ἐπειγούσης τῆς ἐπιθυμίας εἰς τὸ στόμα τὴν γαστέρα. γενέσθαι δ᾽ ἄλλως ἀμήχανον τοῦτο μὴ οὐχ ὥσπερ διὰ χειρὸς τοῦ στομάχου τῆς γαστρὸς ἐπισπωμένης εἰς ἑαυτὴν τὰ σιτία. καθάπερ γὰρ καὶ ἡμεῖς ὑπὸ προθυμίας ἐνίοτε τῇ χειρὶ συνεπεκτείνομεν ὅλους ἡμᾶς αὐτοὺς ἕνεκα τοῦ θᾶττον ἐπιδράξασθαι τοῦ προκειμένου σώματος, οὕτω καὶ ἡ γαστὴρ οἷον χειρὶ τῷ στομάχῳ συνεπεκτείνεται. καὶ διὰ τοῦτ᾽ ἐφ᾽ ὧν ζῴων ἅμα τὰ τρία ταυτὶ συνέπεσεν, ἔφεσίς τε σφοδρὰ τῆς τροφῆς ὅ τε στόμαχος μικρὸς ἥ τ᾽ εὐρυχωρία τοῦ στόματος δαψιλής, ἐπὶ τούτων ὀλίγη ῥοπὴ τῆς ἐπεκτάσεως εἰς τὸ στόμα τὴν κοιλίαν ὅλην ἀναφέρει.*

*Ἤρκει μὲν οὖν ἴσως ἀνδρὶ φυσικῷ παρ᾽ αὐτῆς*
175 *μόνης τῆς κατασκευῆς τῶν ὀργά||νων τὴν ἔνδειξιν τῆς ἐνεργείας λαμβάνειν. οὐ γὰρ δὴ μάτην γ᾽*

*of Animals*; he also adds the cause of this: he says that it is owing to their voracity.

The facts are as follows. In all animals, when the appetite is very intense, the stomach rises up, so that some people who have a clear perception of this condition say that their stomach "creeps out" of them; in others, who are still masticating their food and have not yet worked it up properly in the mouth, the stomach obviously snatches away the food from them against their will. In those animals, therefore, which are naturally voracious, in whom the mouth cavity is of generous proportions, and the stomach situated close to it (as in the case of the synodont and channa), it is in no way surprising that, when they are sufficiently hungry and are pursuing one of the smaller animals, and are just on the point of catching it, the stomach should, under the impulse of desire, spring into the mouth. And this cannot possibly take place in any other way than by the stomach drawing the food to itself by means of the gullet, as though by a hand. In fact, just as we ourselves, in our eagerness to grasp more quickly something lying before us, sometimes stretch out our whole bodies along with our hands, so also the stomach stretches itself forward along with the gullet, which is, as it were, its hand. And thus, in these animals in whom those three factors co-exist—an excessive propensity for food, a small gullet, and ample mouth proportions—in these, any slight tendency to movement forwards brings the whole stomach into the mouth.

Now the constitution of the organs might itself suffice to give a naturalist an indication of their functions. For Nature would never have purpose-

ἂν ἡ φυσις ἐκ δυοῖν χιτώνων ἐναντίως ἀλλήλοις
ἐχόντων ἀπειργάσατο τὸν οἰσοφάγον, εἰ μὴ καὶ
διαφόρως ἑκάτερος αὐτῶν ἐνεργεῖν ἔμελλεν. ἀλλ'
ἐπεὶ πάντα μᾶλλον ἢ τὰ τῆς φύσεως ἔργα δια-
γιγνώσκειν οἱ περὶ τὸν Ἐρασίστρατόν εἰσιν
ἱκανοί, φέρε κἀκ τῆς τῶν ζῴων ἀνατομῆς ἐπι-
δείξωμεν αὐτοῖς, ὡς ἑκάτερος τῶν χιτώνων ἐνεργεῖ
τὴν εἰρημένην ἐνέργειαν. εἰ δή τι λαβὼν ζῷον,
εἶτα γυμνώσας αὐτοῦ τὰ περικείμενα τῷ στομάχῳ
σώματα χωρὶς τοῦ διατεμεῖν τινα τῶν νεύρων ἢ
τῶν ἀρτηριῶν ἢ τῶν φλεβῶν τῶν αὐτόθι τεταγ-
μένων ἐθέλοις ἀπὸ τῆς γένυος ἕως τοῦ θώρακος
εὐθείαις τομαῖς διελεῖν τὸν ἔξω χιτῶνα τὸν τὰς
ἐγκαρσίας ἶνας ἔχοντα κἄπειτα τῷ ζῴῳ τροφὴν
προσενέγκοις, ὄψει καταπῖνον αὐτὸ καίτοι τῆς
περισταλτικῆς ἐνεργείας ἀπολωλυίας. εἰ δ' αὖ
πάλιν ἐφ' ἑτέρου ζῴου διατέμοις ἀμφοτέρους τοὺς
χιτῶνας τομαῖς ἐγκαρσίαις, θεάσῃ καὶ τοῦτο
καταπῖνον οὐκέτ' ἐνεργοῦντος τοῦ ἐντός. ᾧ δῆλον,
ὅτι καὶ διὰ θατέρου μὲν αὐτῶν καταπίνειν οἷόν
176 τ' ἐστίν, || ἀλλὰ χεῖρον ἢ δι' ἀμφοτέρων. πρὸς
γὰρ αὖ τοῖς ἄλλοις καὶ τοῦτ' ἔστι θεάσασθαι
σαφῶς ἐπὶ τῆς εἰρημένης ἀνατομῆς, ὡς ἐν τῷ
καταπίνειν ὑποπίμπλαται πνεύματος ὁ στόμαχος
τοῦ συγκαταπινομένου τοῖς σιτίοις, ὃ περιστελλο-
μένου μὲν τοῦ ἔξωθεν χιτῶνος ὠθεῖται ῥᾳδίως
εἰς τὴν γαστέρα σὺν τοῖς ἐδέσμασι, μόνου δὲ τοῦ
ἔνδον ὑπάρχοντος ἐμποδὼν ἵσταται τῇ φορᾷ τῶν

[1] Under the term "neura," tendons were often included as well as nerves. Similarly in modern Dutch the word *zenuw* ("sinew") means both a tendon and a nerve; *zenuwachtig* = "nervous."

lessly constructed the oesophagus of two coats with contrary dispositions; they must also have each been meant to have a different action. The Erasistratean school, however, are capable of anything rather than of recognizing the effects of Nature. Come, therefore, let us demonstrate to them by animal dissection as well that each of the two coats does exercise the activity which I have stated. Take an animal, then; lay bare the structures surrounding the gullet, without severing any of the nerves,[1] arteries, or veins which are there situated; next divide with vertical incisions, from the lower jaw to the thorax, the outer coat of the oesophagus (that containing transverse fibres); then give the animal food and you will see that it still swallows although the peristaltic function has been abolished. If, again, in another animal, you cut through both coats[2] with transverse incisions, you will observe that this animal also swallows although the inner coat is no longer functioning. From this it is clear that the animal can also swallow by either of the two coats, although not so well as by both. For the following also, in addition to other points, may be distinctly observed in the dissection which I have described—that during deglutition the gullet becomes slightly filled with air which is swallowed along with the food, and that, when the outer coat is contracting, this air is easily forced with the food into the stomach, but that, when there only exists an inner coat, the air impedes the conveyance of

[2] Rather than the alternative reading, τὸν ἔσωθεν χιτῶνα. Galen apparently supposes that the outer coat will not be damaged, as the cuts will pass *between* its fibres. These cuts would be, presumably, short ones, at various levels, no single one of them involving the whole circumference of the gullet.

σιτίων διατεῖνόν τ' αὐτὸν καὶ τὴν ἐνέργειαν ἐμποδίζον.

Ἀλλ' οὔτε τούτων οὐδὲν Ἐρασίστρατος εἶπεν οὔθ' ὡς ἡ σκολιὰ θέσις τοῦ στομάχου διαβάλλει σαφῶς τὸ δόγμα τῶν νομιζόντων ὑπὸ τῆς ἄνωθεν βολῆς μόνης ποδηγούμενα μέχρι τῆς γαστρὸς ἰέναι τὰ καταπινόμενα. μόνον δ' ὅτι πολλὰ τῶν μακροτραχήλων ζῴων ἐπικεκυφότα καταπίνει, καλῶς εἶπεν. ᾧ δῆλον, ὅτι τὸ φαινόμενον οὐ τὸ πῶς καταπίνομεν ἀποδείκνυσιν, ἀλλὰ τὸ πῶς οὐ καταπίνομεν· ὅτι γὰρ μὴ διὰ μόνης τῆς ἄνωθεν βολῆς, ἐκ τούτου δῆλον· οὐ μὴν εἴθ' ἑλκούσης τῆς κοιλίας εἴτε παράγοντος αὐτὰ τοῦ στομάχου,
177 δῆλον ἤδη πω. ἀλλ' ἡμεῖς γε || πάντας τοὺς λογισμοὺς εἰπόντες τούς τ' ἐκ τῆς κατασκευῆς τῶν ὀργάνων ὁρμωμένους καὶ τοὺς ἀπὸ τῶν ἄλλων συμπτωμάτων τῶν τε πρὸ τοῦ γυμνωθῆναι τὸν στόμαχον καὶ γυμνωθέντος, ὡς ὀλίγῳ πρόσθεν ἐλέγομεν, ἱκανῶς ἐνεδειξάμεθα τοῦ μὲν ἕλκειν ἕνεκα τὸν ἐντὸς χιτῶνα, τοῦ δ' ἀπωθεῖν τὸν ἐκτὸς γεγονέναι.

Προὐθέμεθα μὲν οὖν ἀποδεῖξαι τὴν καθεκτικὴν δύναμιν ἐν ἑκάστῳ τῶν ὀργάνων οὖσαν, ὥσπερ ἐν τῷ πρόσθεν λόγῳ τὴν ἑλκτικήν τε καὶ προσέτι τὴν ἀλλοιωτικήν. ὑπὸ δὲ τῆς ἀκολουθίας τοῦ λόγου τὰς τέτταρας ἀπεδείξαμεν ὑπαρχούσας τῇ γαστρί, τὴν ἑλκτικὴν μὲν ἐν τῷ καταπίνειν, τὴν καθεκτικὴν δ' ἐν τῷ πέττειν, τὴν ἀπωστικὴν δ' ἐν τοῖς ἐμέτοις καὶ ταῖς τῶν πεπεμμένων σιτίων εἰς τὸ λεπτὸν ἔντερον ὑποχωρήσεσιν, αὐτὴν δὲ τὴν πέψιν ἀλλοίωσιν ὑπάρχειν.

food, by distending this coat and hindering its action.

But Erasistratus said nothing about this, nor did he point out that the oblique situation of the gullet clearly confutes the teaching of those who hold that it is simply by virtue of the impulse from above that food which is swallowed reaches the stomach. The only correct thing he said was that many of the long-necked animals bend down to swallow. Hence, clearly, the observed fact does not show how we swallow but how we do not swallow. For from this observation it is clear that swallowing is not due merely to the impulse from above; it is yet, however, not clear whether it results from the food being attracted by the stomach, or conducted by the gullet. For our part, however, having enumerated all the different considerations—those based on the constitution of the organs, as well as those based on the other symptoms which, as just mentioned, occur both before and after the gullet has been exposed—we have thus sufficiently proved that the inner coat exists for the purpose of attraction and the outer for the purpose of propulsion.

Now the original task we set before ourselves was to demonstrate that the *retentive* faculty exists in every one of the organs, just as in the previous book we proved the existence of the *attractive*, and, over and above this, the *alterative* faculty. Thus, in the natural course of our argument, we have demonstrated these four faculties existing in the stomach—the attractive faculty in connection with swallowing, the retentive with digestion, the expulsive with vomiting and with the descent of digested food into the small intestine—and digestion itself we have shown to be a process of *alteration*.

## IX

Οὔκουν ἔτ᾿ ἀπορήσομεν οὐδὲ περὶ τοῦ σπληνός,
εἰ ἕλκει μὲν τὸ οἰκεῖον, ἀποκρίνει δὲ τὸ ἀλλότριον,
ἀλλοιοῦν δὲ καὶ κατέχειν, ὅσον ἂν ἐπισπάσηται,
πέφυκεν, οὐδὲ περὶ ἥπατος ἢ φλεβὸς ἢ ἀρτηρίας
178 ἢ καρδίας ἢ τῶν || ἄλλων τινός· ἀναγκαῖαι γὰρ
ἐδείχθησαν αἱ τέτταρες αὗται δυνάμεις ἅπαντι
μορίῳ τῷ μέλλοντι θρέψεσθαι καὶ διὰ τοῦτ᾿ αὐτὰς
ὑπηρέτιδας εἶναι θρέψεως ἔφαμεν· ὡς γὰρ τὸ τῶν
ἀνθρώπων ἀποπάτημα τοῖς κυσὶν ἥδιστον, οὕτω
καὶ τὰ τοῦ ἥπατος περιττώματα τὸ μὲν τῷ
σπληνί, τὸ δὲ τῇ χοληδόχῳ κύστει, τὸ δὲ τοῖς
νεφροῖς οἰκεῖον.

## X

Καὶ λέγειν ἔτι περὶ τῆς τούτων γενέσεως οὐκ ἂν ἐθέλοιμι μεθ᾿ Ἱπποκράτην καὶ Πλάτωνα καὶ Ἀριστοτέλην καὶ Διοκλέα καὶ Πραξαγόραν καὶ Φιλότιμον· οὐδὲ γὰρ οὐδὲ περὶ τῶν δυνάμεων εἶπον ἄν, εἴ τις τῶν ἔμπροσθεν ἀκριβῶς ἐξειργάσατο τὸν ὑπὲρ αὐτῶν λόγον.

Ἐπεὶ δ᾿ οἱ μὲν παλαιοὶ καλῶς ὑπὲρ αὐτῶν ἀποφηνάμενοι παρέλιπον ἀγωνίσασθαι τῷ λόγῳ, μηδ᾿ ὑπονοήσαντες ἔσεσθαί τινας εἰς τοσοῦτον ἀναισχύντους σοφιστάς, ὡς ἀντιλέγειν ἐπιχειρῆσαι τοῖς ἐναργέσιν, οἱ νεώτεροι δὲ τὸ μέν τι

---

[1] *cf.* p. 205.

## IX

Concerning the spleen, also, we shall therefore have no further doubts [1] as to whether it attracts what is proper to it, rejects what is foreign, and has a natural power of altering and retaining all that it attracts; nor shall we be in any doubt as to the liver, veins, arteries, heart, or any other organ. For these four faculties have been shown to be necessary for every part which is to be nourished; this is why we have called these faculties the *handmaids of nutrition*. For just as human faeces are most pleasing to dogs, so the residual matters from the liver are, some of them, proper to the spleen,[2] others to the gall-bladder, and others to the kidneys.

## X

I should not have cared to say anything further as to the origin of these [surplus subtances] after Hippocrates, Plato, Aristotle, Diocles, Praxagoras, and Philotimus, nor indeed should I even have said anything about the *faculties*, if any of our predecessors had worked out this subject thoroughly.

While, however, the statements which the Ancients made on these points were correct, they yet omitted to defend their arguments with logical proofs; of course they never suspected that there could be sophists so shameless as to try to contradict obvious facts. More recent physicians, again, have been

[2] Thus Galen elsewhere calls the spleen a mere *emunctory* (ἐκμαγεῖον) of the liver. *cf.* p. 214, note 1.

*νικηθέντες ὑπὸ τῶν σοφισμάτων ἐπείσθησαν αὐτοῖς, τὸ δέ τι καὶ ἀντιλέγειν ἐπιχειρήσαντες ἀποδεῖν μοι πολὺ τῆς τῶν παλαιῶν ἔδοξαν δυνά-*
179 *μεως,* || *διὰ τοῦθ', ὡς ἂν ἐκείνων αὐτῶν, εἴπερ ἔτ' ἦν τις, ἀγωνίσασθαί μοι δοκεῖ πρὸς τοὺς ἀνατρέποντας τῆς τέχνης τὰ κάλλιστα, καὶ αὐτὸς οὕτως ἐπειράθην συνθεῖναι τοὺς λόγους.*

*Ὅτι δ' ἢ οὐδὲν ἢ παντάπασιν ἀνύσω τι σμικρόν, οὐκ ἀγνοῶ· πάμπολλα γὰρ εὑρίσκω τελέως μὲν ἀποδεδειγμένα τοῖς παλαιοῖς, οὔτε δὲ συνετὰ τοῖς πολλοῖς τῶν νῦν δι' ἀμαθίαν ἀλλ' οὐδ' ἐπιχειρούμενα γιγνώσκεσθαι διὰ ῥᾳθυμίαν, οὔτ', εἰ καὶ γνωσθείη τινί, δικαίως ἐξεταζόμενα.*

*Χρὴ γὰρ τὸν μέλλοντα γνώσεσθαί τι τῶν πολλῶν ἄμεινον εὐθὺς μὲν καὶ τῇ φύσει καὶ τῇ πρώτῃ διδασκαλίᾳ πολὺ τῶν ἄλλων διενεγκεῖν· ἐπειδὰν δὲ γένηται μειράκιον, ἀληθείας τινὰ σχεῖν ἐρωτικὴν μανίαν, ὥσπερ ἐνθουσιῶντα καὶ μήθ' ἡμέρας μήτε νυκτὸς διαλείπειν σπεύδοντά τε καὶ συντεταμένον ἐκμαθεῖν, ὅσα τοῖς ἐνδοξοτάτοις εἴρηται τῶν παλαιῶν· ἐπειδὰν δ' ἐκμάθῃ, κρίνειν αὐτὰ καὶ βασανίζειν χρόνῳ παμπόλλῳ καὶ σκοπεῖν, πόσα μὲν ὁμολογεῖ τοῖς ἐναργῶς φαινομένοις,*
180 *πόσα δὲ διαφέρεται,* || *καὶ οὕτω τὰ μὲν αἱρεῖσθαι, τὰ δ' ἀποστρέφεσθαι. τῷ μὲν δὴ τοιούτῳ πάνυ σφόδρα χρησίμους ἤλπικα τοὺς ἡμετέρους ἔσε-*

partly conquered by the sophistries of these fellows and have given credence to them; whilst others who attempted to argue with them appear to me to lack to a great extent the power of the Ancients. For this reason I have attempted to put together my arguments in the way in which it seems to me the Ancients, had any of them been still alive, would have done, in opposition to those who would overturn the finest doctrines of our art.

I am not, however, unaware that I shall achieve either nothing at all or else very little. For I find that a great many things which have been conclusively demonstrated by the Ancients are unintelligible to the bulk of the Moderns owing to their ignorance—nay, that, by reason of their laziness, they will not even make an attempt to comprehend them; and even if any of them have understood them, they have not given them impartial examination.

The fact is that he whose purpose is to know anything better than the multitude do must far surpass all others both as regards his nature and his early training. And when he reaches early adolescence he must become possessed with an ardent love for truth, like one inspired; neither day nor night may he cease to urge and strain himself in order to learn thoroughly all that has been said by the most illustrious of the Ancients. And when he has learnt this, then for a prolonged period he must test and prove it, observing what part of it is in agreement, and what in disagreement with obvious fact; thus he will choose this and turn away from that. To such an one my hope has been that my treatise would prove of the very greatest assistance. . . .

σθαι λόγους· εἶεν δ' ἂν ὀλίγοι παντάπασιν οὗτοι· τοῖς δ' ἄλλοις οὕτω γενήσεται τὸ γράμμα περιττόν, ὡς εἰ καὶ μῦθον ὄνῳ τις λέγοι.

## XI

Συμπεραντέον οὖν ἡμῖν τὸν λόγον ἕνεκα τῶν τῆς ἀληθείας ἐφιεμένων ὅσα λείπει κατ' αὐτὸν ἔτι προσθεῖσιν. ὡς γὰρ ἡ γαστὴρ ἕλκει μὲν ἐναργῶς καὶ κατασπᾷ τὰ σιτία τοῖς σφόδρα πεινώδεσι, πρὶν ἀκριβῶς ἐν τῷ στόματι λειωθῆναι, δυσχεραίνει δὲ καὶ ἀπωθεῖται τοῖς ἀποσίτοις τε καὶ πρὸς ἀνάγκην ἐσθίουσιν, οὕτω καὶ τῶν ἄλλων ὀργάνων ἕκαστον ἀμφοτέρας ἔχει τὰς δυνάμεις, τήν τε τῶν οἰκείων ἑλκτικὴν καὶ τὴν τῶν ἀλλοτρίων ἀποκριτικήν. καὶ διὰ τοῦτο, κἂν ἐξ ἑνὸς ᾖ χιτῶνος ὄργανόν τι συνεστώς, ὥσπερ καὶ αἱ κύστεις ἀμφότεραι καὶ αἱ μῆτραι καὶ αἱ φλέβες, ἀμφότερα τῶν ἰνῶν ἔχει τὰ γένη, τῶν εὐθειῶν τε καὶ τῶν ἐγκαρσίων.

181 Καὶ μέν γε καὶ τρίτον τι || γένος ἰνῶν ἐστι <τῶν> λοξῶν, ἔλαττον πολὺ τῷ πλήθει τῶν προειρημένων δύο γενῶν. εὑρίσκεται δ' ἐν μὲν τοῖς ἐκ δυοῖν χιτώνων συνεστηκόσιν ὀργάνοις ἐν θατέρῳ μόνῳ ταῖς εὐθείαις ἰσὶν ἀναμεμιγμένον, ἐν δὲ τοῖς ἐξ ἑνὸς ἅμα τοῖς ἄλλοις δύο γένεσι. συνεπιλαμβάνουσι δ' αὗται μέγιστον τῇ τῆς καθεκτικῆς ὀνομασθείσης δυνάμεως ἐνεργείᾳ· δεῖται γὰρ ἐν τούτῳ τῷ χρόνῳ πανταχόθεν ἐσφίγχθαι καὶ περιτετάσθαι τοῖς ἐνυπάρχουσι τὸ μόριον, ἡ

[1] *cf.* p. 269.

Still, such people may be expected to be quite few in number, while, as for the others, this book will be as superfluous to them as a tale told to an ass.

## XI

For the sake, then, of those who are aiming at truth, we must complete this treatise by adding what is still wanting in it. Now, in people who are very hungry, the stomach obviously attracts or draws down the food before it has been thoroughly softened in the mouth, whilst in those who have no appetite or who are being forced to eat, the stomach is displeased and rejects the food.[1] And in a similar way each of the other organs possesses both faculties—that of attracting what is proper to it, and that of rejecting what is foreign. Thus, even if there be any organ which consists of only one coat (such as the two bladders,[2] the uterus, and the veins), it yet possesses both kinds of fibres, the longitudinal and the transverse.

But further, there are fibres of a third kind—the *oblique*—which are much fewer in number than the two kinds already spoken of. In the organs consisting of two coats this kind of fibre is found in the one coat only, mixed with the longitudinal fibres; but in the organs composed of one coat it is found along with the other two kinds. Now, these are of the greatest help to the action of the faculty which we have named *retentive*. For during this period the part needs to be tightly contracted and stretched over its contents at every point—the

[2] The urinary bladders of pigs (such as Galen dissected) are thin, and appear to have only one coat.

μὲν γαστὴρ ἐν τῷ τῆς πέψεως, αἱ μῆτραι δ᾽ ἐν τῷ τῆς κυήσεως χρόνῳ παντί.

Ταῦτ᾽ ἄρα καὶ ὁ τῆς φλεβὸς χιτὼν εἷς ὢν ἐκ πολυειδῶν ἰνῶν ἐγένετο καὶ τῶν τῆς ἀρτηρίας ὁ μὲν ἔξωθεν ἐκ τῶν στρογγύλων, ὁ δ᾽ ἔσωθεν ἐκ μὲν τῶν εὐθειῶν πλείστων, ὀλίγων δέ τινων σὺν αὐταῖς καὶ τῶν λοξῶν, ὥστε τὰς μὲν φλέβας ταῖς μήτραις καὶ ταῖς κύστεσιν ἐοικέναι κατά γε τὴν τῶν ἰνῶν σύνθεσιν, εἰ καὶ τῷ πάχει λείπονται, τὰς δ᾽ ἀρτηρίας τῇ γαστρί. μόνα δὲ πάντων ὀργάνων ἐκ δυοῖν θ᾽ ἅμα καὶ ἀμφοτέρων ἐγκαρσίας ἐχόντων τὰς ἶνας ἐγένετο τὰ ἔντερα. τὸ δ᾽ ὅτι
182 βέλτιον ἦν ‖ τῶν τ᾽ ἄλλων ἑκάστῳ τοιούτῳ τὴν φύσιν ὑπάρχειν, οἷόνπερ καὶ νῦν ἐστι, τοῖς τ᾽ ἐντέροις ἐκ δυοῖν ὁμοίων χιτώνων συγκεῖσθαι, τῆς περὶ χρείας μορίων πραγματείας ἐστίν. οὔκουν νῦν χρὴ ποθεῖν ἀκούειν περὶ τῶν τοιούτων, ὥσπερ οὐδὲ διὰ τί περὶ τοῦ πλήθους τῶν χιτώνων ἑκάστου τῶν ὀργάνων διαπεφώνηται τοῖς ἀνατομικοῖς ἀνδράσιν. ὑπὲρ μὲν γὰρ τούτων αὐτάρκως ἐν τοῖς περὶ τῆς ἀνατομικῆς διαφωνίας εἴρηται· περὶ δὲ τοῦ διότι τοιοῦτον ἕκαστον ἐγένετο τῶν ὀργάνων, ἐν τοῖς περὶ χρείας μορίων εἰρήσεται.

## XII

Νυνὶ δ᾽ οὐδέτερον τούτων πρόκειται λέγειν, ἀλλὰ τὰς φυσικὰς δυνάμεις μόνας ἀποδεικνύειν ἐν ἑκάστῳ τῶν ὀργάνων τέτταρας ὑπαρχούσας. ἐπὶ τοῦτ᾽ οὖν πάλιν ἐπανελθόντες ἀναμνήσωμέν τε

---

[1] *cf.* p. 243

[2] My suggestion is that Galen refers to **(1)** the *mucous*

stomach during the whole period of digestion,[1] and the uterus during that of gestation.

Thus too, the coat of a vein, being single, consists of various kinds of fibres; whilst the outer coat of an artery consists of circular fibres, and its inner coat mostly of longitudinal fibres, but with a few oblique ones also amongst them. Veins thus resemble the uterus or the bladder as regards the arrangement of their fibres, even though they are deficient in thickness; similarly arteries resemble the stomach. Alone of all organs the intestines consist of two coats of which both have their fibres transverse.[2] Now the proof that it was *for the best* that all the organs should be naturally such as they are (that, for instance, the intestines should be composed of two coats) belongs to the subject of the *use of parts*[3]; thus we must not now desire to hear about matters of this kind nor why the anatomists are at variance regarding the number of coats in each organ. For these questions have been sufficiently discussed in the treatise "On Disagreement in Anatomy." And the problem as to why each organ has such and such a character will be discussed in the treatise "On the Use of Parts."

## XII

It is not, however, our business to discuss either of these questions here, but to consider duly the *natural faculties*, which, to the number of four, exist in each organ. Returning then, to this point, let us

coat, with its *valvulae conniventes*, and (2) the *muscular* coat, of which the chief layer is made up of circular fibres. *cf.* p. 262, note 1. [3] Or *utility*.

τῶν ἔμπροσθεν εἰρημένων ἐπιθῶμέν τε κεφαλὴν ἤδη τῷ λόγῳ παντὶ τὸ λεῖπον ἔτι προσθέντες. ἐπειδὴ γὰρ ἕκαστον τῶν ἐν τῷ ζῴῳ μορίων ἕλκειν εἰς ἑαυτὸ τὸν οἰκεῖον χυμὸν ἀποδέδεικται καὶ πρώτη σχεδὸν αὕτη τῶν φυσικῶν ἐστι δυνάμεων,
183 ἐφεξῆς || ἐκείνῳ γνωστέον, ὡς οὐ πρότερον ἀποτρίβεται τὴν ἑλχθεῖσαν <τροφὴν> ἤτοι σύμπασαν ἢ καί τι περίττωμα αὐτῆς, πρὶν ἂν εἰς ἐναντίαν μεταπέσῃ διάθεσιν ἢ αὐτὸ τὸ ὄργανον ἢ καὶ τῶν περιεχομένων ἐν αὐτῷ τὰ πλεῖστα. ἡ μὲν οὖν γαστήρ, ἐπειδὰν μὲν ἱκανῶς ἐμπλησθῇ τῶν σιτίων καὶ τὸ χρηστότατον αὐτῶν εἰς τοὺς ἑαυτῆς χιτῶνας ἐναπόθηται βδάλλουσα, τηνικαῦτ' ἤδη τὸ λοιπὸν ἀποτρίβεται καθάπερ ἄχθος ἀλλότριον· αἱ κύστεις δ', ἐπειδὰν ἕκαστον τῶν ἑλχθέντων ἢ τῷ πλήθει διατεῖνον ἢ τῇ ποιότητι δάκνον ἀνιαρὸν γένηται.

Τῷ δ' αὐτῷ τρόπῳ καὶ αἱ μῆτραι· ἤτοι γάρ, ἐπειδὰν μηκέτι φέρωσι διατεινόμεναι, τὸ λυποῦν ἀποθέσθαι σπεύδουσιν ἢ τῇ ποιότητι δακνόμεναι τῶν ἐκχυθέντων εἰς αὐτὰς ὑγρῶν. ἑκάτερον δὲ τῶν εἰρημένων γίγνεται μὲν καὶ βιαίως ἔστιν ὅτε καὶ ἀμβλώσκουσι τηνικαῦτα, γίγνεται δ' ὡς τὰ πολλὰ καὶ προσηκόντως, ὅπερ οὐκ ἀμβλώσκειν ἀλλ' ἀποκυΐσκειν τε καὶ τίκτειν ὀνομάζεται. τοῖς μὲν οὖν ἀμβλωθριδίοις φαρμάκοις ἤ τισιν ἄλλοις
184 παθήμασι διαφθεί||ρουσι τὸ ἔμβρυον ἤ τινας τῶν ὑμένων αὐτοῦ ῥηγνύουσιν αἱ ἀμβλώσεις ἕπονται, οὕτω δὲ κἀπειδὰν ἀνιαθῶσί ποθ' αἱ μῆτραι κακῶς ἔχουσαι τῇ διατάσει, ταῖς δὲ τῶν ἐμβρύων αὐτῶν κινήσεσι ταῖς σφοδροτάταις οἱ τόκοι, καθάπερ καὶ τοῦθ' Ἱπποκράτει καλῶς εἴρηται. κοινὸν δ'

recall what has already been said, and set a crown to the whole subject by adding what is still wanting. For when every part of the animal has been shewn to draw into itself the juice which is proper to it (this being practically *the first of the natural faculties*), the next point to realise is that the part does not get rid either of this attracted nutriment as a whole, or even of any superfluous portion of it, until either the organ itself, or the major part of its contents also have their condition reversed. Thus, when the stomach is sufficiently filled with the food and has absorbed and stored away the most useful part of it in its own coats, it then rejects the rest like an alien burden. The same happens to the bladders, when the matter attracted into them begins to give trouble either because it distends them through its quantity or irritates them by its quality.

And this also happens in the case of the uterus; for it is either because it can no longer bear to be stretched that it strives to relieve itself of its annoyance, or else because it is irritated by the quality of the fluids poured out into it. Now both of these conditions sometimes occur with actual violence, and then *miscarriage* takes place. But for the most part they happen in a normal way, this being then called not miscarriage but *delivery* or *parturition*. Now abortifacient drugs or certain other conditions which destroy the embryo or rupture certain of its membranes are followed by abortion, and similarly also when the uterus is in pain from being in a bad state of tension; and, as has been well said by Hippocrates, excessive movement on the part of the embryo itself brings on labour. Now

*ἁπασῶν τῶν διαθέσεων ἡ ἀνία καὶ ταύτης αἴτιον τριττὸν ἢ ὄγκος περιττὸς ἤ τι βάρος ἢ δῆξις· ὄγκος μέν, ἐπειδὰν μηκέτι φέρωσι διατεινόμεναι, βάρος δ', ἐπειδὰν ὑπὲρ τὴν ῥώμην αὐτῶν ᾖ τὸ περιεχόμενον, δῆξις δ', ἐπειδὰν ἤτοι τὰ πρότερον ἐν τοῖς ὑμέσιν ὑγρὰ στεγόμενα ῥαγέντων αὐτῶν εἰς αὐτὰς ἐκχυθῇ τὰς μήτρας ἢ καὶ σύμπαν ἀποφθαρὲν τὸ κύημα σηπόμενόν τε καὶ διαλυόμενον εἰς μοχθηροὺς ἰχῶρας οὕτως ἐρεθίζῃ τε καὶ δάκνῃ τὸν χιτῶνα τῶν ὑστερῶν.*

*Ἀνάλογον οὖν ἐν ἅπασι τοῖς ὀργάνοις ἕκαστα τῶν τ' ἔργων αὐτῶν τῶν φυσικῶν καὶ μέντοι τῶν παθημάτων τε καὶ νοσημάτων φαίνεται γιγνόμενα, τὰ μὲν ἐναργῶς καὶ σαφῶς οὕτως, ὡς ἀποδείξεως δεῖσθαι μηδέν, τὰ δ' ἧττον μὲν ἐναρ-*
185 *γῶς, οὐ μὴν ἄγνωστά γε παντάπασι τοῖς || ἐθέλουσι προσέχειν τὸν νοῦν.*

*Ἐπὶ μὲν οὖν τῆς γαστρὸς αἵ τε δήξεις ἐναργεῖς, διότι πλείστης αἰσθήσεως μετέχει, τά τ' ἄλλα παθήματα τά τε ναυτίαν ἐμποιοῦντα καὶ οἱ καλούμενοι καρδιωγμοὶ σαφῶς ἐνδείκνυνται τὴν ἀποκριτικήν τε καὶ ἀπωστικὴν τῶν ἀλλοτρίων δύναμιν, οὕτω δὲ κἀπὶ τῶν ὑστερῶν τε καὶ τῆς κύστεως τῆς τὸ οὖρον ὑποδεχομένης· ἐναργῶς γὰρ οὖν καὶ αὕτη φαίνεται μέχρι τοσούτου τὸ ὑγρὸν ὑποδεχομένη τε καὶ ἀθροίζουσα, ἄχρις ἂν ἤτοι πρὸς τοῦ πλήθους αὐτοῦ διατεινομένη μηκέτι φέρῃ τὴν ἀνίαν ἢ πρὸς τῆς ποιότητος δακνομένη· χρονίζον γὰρ ἕκαστον τῶν περιττωμάτων ἐν τῷ σώματι σήπεται δηλονότι, τὸ μὲν ἐλάττονι, τὸ δὲ πλείονι χρόνῳ, καὶ οὕτω δακνῶδές τε καὶ δριμὺ καὶ ἀνιαρὸν τοῖς περιέχουσι γίγνεται. οὐ μὴν*

*pain* is common to all these conditions, and of this there are three possible causes—either excessive bulk, or weight, or irritation; bulk when the uterus can no longer support the stretching, weight when the contents surpass its strength, and irritation when the fluids which had previously been pent up in the membranes, flow out, on the rupture of these, into the uterus itself, or else when the whole foetus perishes, putrefies, and is resolved into pernicious ichors, and so irritates and bites the coat of the uterus.

In all organs, then, both their natural effects and their disorders and maladies plainly take place on analogous lines,[1] some so clearly and manifestly as to need no demonstration, and others less plainly, although not entirely unrecognizable to those who are willing to pay attention.

Thus, to take the case of the stomach: the irritation is evident here because this organ possesses most sensibility, and among its other affections those producing nausea and the so-called heartburn clearly demonstrate the eliminative faculty which expels foreign matter. So also in the case of the uterus and the urinary bladder; this latter also may be plainly observed to receive and accumulate fluid until it is so stretched by the amount of this as to be incapable of enduring the pain; or it may be the quality of the urine which irritates it; for every superfluous substance which lingers in the body must obviously putrefy, some in a shorter, and some in a longer time, and thus it becomes pungent, acrid, and burdensome to the organ which contains it. This

[1] Relationship between physiology and pathology again emphasized. *cf.* p. 188, note 2.

*ἐπί γε τῆς ἐπὶ τῷ ἥπατι κύστεως ὁμοίως ἔχει·
ᾧ δῆλον, ὅτι νεύρων ἥκιστα μετέχει. χρὴ δὲ
κἀνταῦθα τόν γε φυσικὸν ἄνδρα τὸ ἀνάλογον
ἐξευρίσκειν. εἰ γὰρ ἕλκειν τε τὸν οἰκεῖον ἀπε-
δείχθη χυμόν, ὡς φαίνεσθαι πολλάκις μεστήν,*
186 *ἀποκρί‖νειν τε τὸν αὐτὸν τοῦτον οὐκ εἰς μακράν,
ἀναγκαῖόν ἐστιν αὐτὴν ἢ διὰ τὸ πλῆθος βαρυνο-
μένην ἢ τῆς ποιότητος μεταβαλλούσης ἐπὶ τὸ
δακνῶδές τε καὶ δριμὺ τῆς ἀποκρίσεως ἐφίεσθαι.
οὐ γὰρ δὴ τὰ μὲν σιτία τὴν ἀρχαίαν ὑπαλλάττει
ποιότητα ταχέως οὕτως, ὥστ᾽, ἐπειδὰν ἐμπέσῃ
τοῖς λεπτοῖς ἐντέροις, εὐθὺς εἶναι κόπρον, ἡ χολὴ
δ᾽ οὐ πολὺ μᾶλλον ἢ τὸ οὖρον, ἐπειδὰν ἅπαξ
ἐκπέσῃ τῶν φλεβῶν, ἐξαλλάττει τὴν ποιότητα,
τάχιστα μεταβάλλοντα καὶ σηπόμενα. καὶ μὴν
εἴπερ ἐπί τε τῶν κατὰ τὰς ὑστέρας καὶ τὴν
κοιλίαν καὶ τὰ ἔντερα καὶ προσέτι τὴν τὸ οὖρον
ὑποδεχομένην κύστιν ἐναργῶς φαίνεται διάτασίς
τις ἢ δῆξις ἢ ἄχθος ἐπεγεῖρον ἕκαστον τῶν
ὀργάνων εἰς ἀπόκρισιν, οὐδὲν χαλεπὸν κἀπὶ
τῆς χοληδόχου κύστεως ταὐτὸ τοῦτ᾽ ἐννοεῖν ἐπί
τε τῶν ἄλλων ἁπάντων ὀργάνων, ἐξ ὧν δηλονότι
καὶ αἱ ἀρτηρίαι καὶ αἱ φλέβες εἰσίν.*

## XIII

Οὐ *μὴν οὐδὲ τὸ διὰ τοῦ αὐτοῦ πόρου τήν θ᾽
ὁλκὴν γίγνεσθαι καὶ τὴν ἀπόκρισιν ἐν διαφέ-*
187 *ρουσι ‖ χρόνοις οὐδὲν ἔτι χαλεπὸν ἐξευρεῖν, εἴ γε
καὶ τῆς γαστρὸς ὁ στόμαχος οὐ μόνον ἐδέσματα*

does not apply, however, in the case of the bladder alongside the liver, whence it is clear that it possesses fewer nerves than do the other organs. Here too, however, at least the physiologist[1] must discover an analogy. For since it was shown that the gall-bladder attracts its own special juice, so as to be often found full, and that it discharges it soon after, this desire to discharge must be either due to the fact that it is burdened by the quantity or that the bile has changed in quality to pungent and acrid. For while food does not change its original quality so fast that it is already ordure as soon as it falls into the small intestine, on the other hand the bile even more readily than the urine becomes altered in quality as soon as ever it leaves the veins, and rapidly undergoes change and putrefaction. Now, if there be clear evidence in relation to the uterus, stomach, and intestines, as well as to the urinary bladder, that there is either some distention, irritation, or burden inciting each of these organs to elimination, there is no difficulty in imagining this in the case of the gall-bladder also, as well as in the other organs,—to which obviously the arteries and veins also belong.

## XIII

Nor is there any further difficulty in ascertaining that it is through the same channel that both attraction and discharge take place at different times. For obviously the inlet to the stomach does not merely

[1] Or physicist—the investigator of the Physis or Nature. *cf.* p. 196, note 2. Note here the use of analogical reasoning. *cf.* p. 113, note 2.

καὶ πόματα παράγων εἰς αὐτήν, ἀλλὰ κἀν ταῖς ναυτίαις τὴν ἐναντίαν ὑπηρεσίαν ὑπηρετῶν ἐναργῶς φαίνεται, καὶ τῆς ἐπὶ τῷ ἥπατι κύστεως ὁ αὐχὴν εἷς ὢν ἅμα μὲν πληροῖ δι' αὐτοῦ τὴν κύστιν, ἅμα δ' ἐκκενοῖ, καὶ τῶν μητρῶν ὁ στόμαχος ὡσαύτως ὁδός ἐστιν εἴσω μὲν τοῦ σπέρματος, ἔξω δὲ τοῦ κυήματος.

Ἀλλὰ κἀνταῦθα πάλιν ἡ μὲν ἐκκριτικὴ δύναμις ἐναργής, οὐ μὴν ὁμοίως γ' αὐτῇ σαφὴς τοῖς πολλοῖς ἡ ἑλκτική· ἀλλ' Ἱπποκράτης μὲν ἀρρώστου μήτρας αἰτιώμενος αὐχένα φησί· "Οὐ γὰρ δύναται αὐτέης ὁ στόμαχος εἰρύσαι τὴν γονήν."

Ἐρασίστρατος δὲ καὶ Ἀσκληπιάδης εἰς τοσοῦτον ἥκουσι σοφίας, ὥστ' οὐ μόνον τὴν κοιλίαν καὶ τὰς μήτρας ἀποστεροῦσι τῆς τοιαύτης δυνάμεως ἀλλὰ καὶ τὴν ἐπὶ τῷ ἥπατι κύστιν ἅμα τοῖς νεφροῖς. καίτοι γ' ὅτι μηδ' εἰπεῖν δυνατὸν ἕτερον αἴτιον ἢ οὔρων ἢ χολῆς διακρίσεως, ἐν τῷ πρώτῳ δέδεικται λόγῳ.

Καὶ μήτραν οὖν καὶ γαστέρα καὶ τὴν ἐπὶ
188 τῷ ἥπατι κύστιν δι' ἑνὸς καὶ ταὐτοῦ στο||μάχου τήν θ' ὁλκὴν καὶ τὴν ἀπόκρισιν εὑρίσκοντες ποιουμένας μηκέτι θαυμάζωμεν, εἰ καὶ διὰ τῶν φλεβῶν ἡ φύσις ἐκκρίνει πολλάκις εἰς τὴν γαστέρα περιττώματα. τούτου δ' ἔτι μᾶλλον οὐ χρὴ θαυμάζειν, εἰ, δι' ὧν εἰς ἧπαρ ἀνεδόθη φλεβῶν ἐκ γαστρός, αὖθις εἰς αὐτὴν ἐξ ἥπατος ἐν ταῖς μακροτέραις ἀσιτίαις ἕλκεσθαί τις δύναται τροφή. τὸ γὰρ τοῖς τοιούτοις ἀπιστεῖν

---

[1] *cf.* p 95. [2] I. xiii. ; II. ii.

[3] Galen's idea is that if reversal of the direction of flow

conduct food and drink into this organ, but in the condition of nausea it performs the opposite service. Further, the neck of the bladder which is beside the liver, albeit single, both fills and empties the bladder. Similarly the canal of the uterus affords an entrance to the semen and an exit to the foetus.

But in this latter case, again, whilst the eliminative faculty is evident, the attractive faculty is not so obvious to most people. It is, however, the cervix which Hippocrates blames for inertia of the uterus when he says :—"Its orifice has no power of attracting semen." [1]

Erasistratus, however, and Asclepiades reached such heights of wisdom that they deprived not merely the stomach and the womb of this faculty but also the bladder by the liver, and the kidneys as well. I have, however, pointed out in the first book that it is impossible to assign any other cause for the secretion of urine or bile.[2]

Now, when we find that the uterus, the stomach and the bladder by the liver carry out attraction and expulsion through one and the same duct, we need no longer feel surprised that Nature should also frequently discharge waste-substances into the stomach through the veins. Still less need we be astonished if a certain amount of the food should, during long fasts, be drawn back from the liver into the stomach through the same veins [3] by which it was yielded up to the liver during absorption of nutriment.[4] To disbelieve such things

can occur in the *primae viae* (in vomiting), it may also be expected to occur in the *secundae viae* or absorptive channels.

[4] For this "delivery," "up-yield," or *anadosis*, *v.* p. 13, note 5.

ὅμοιόν ἐστι δήπου τῷ μηκέτι πιστεύειν μηδ' ὅτι τὰ καθαίροντα φάρμακα διὰ τῶν αὐτῶν στομάτων ἐξ ὅλου τοῦ σώματος εἰς τὴν γαστέρα τοὺς οἰκείους ἐπισπᾶται χυμούς, δι' ὧν ἔμπροσθεν ἡ ἀνάδοσις ἐγένετο, ἀλλ' ἕτερα μὲν ζητεῖν ἀναδόσεως, ἕτερα δὲ καθάρσεως στόματα. καὶ μὴν εἴπερ ἓν καὶ ταὐτὸ στόμα διτταῖς ὑπηρετεῖ δυνάμεσιν, ἐν διαφόροις χρόνοις εἰς τἀναντία τὴν ὁλκὴν ποιουμέναις, ἔμπροσθεν μὲν τῇ κατὰ τὸ ἧπαρ, ἐν δὲ τῷ τῆς καθάρσεως καιρῷ τῇ τοῦ φαρμάκου, τί θαυμαστόν ἐστι διττὴν ὑπηρεσίαν τε καὶ χρείαν εἶναι ταῖς φλεψὶ ταῖς ἐν τῷ μέσῳ τεταγμέναις ἥπατός τε καὶ τῶν κατὰ τὴν κοιλίαν, ὥσθ', ὁπότε μὲν ἐν τούτοις ἄφθονος εἴη περιεχομένη τροφή, διὰ τῶν εἰρη-
189 μένων εἰς || ἧπαρ ἀναφέρεσθαι φλεβῶν, ὁπότε δ' εἴη κενὰ καὶ δεόμενα τρέφεσθαι, διὰ τῶν αὐτῶν αὖθις ἐξ ἥπατος ἕλκεσθαι;

Πᾶν γὰρ ἐκ παντὸς ἕλκειν φαίνεται καὶ παντὶ μεταδιδόναι καὶ μία τις εἶναι σύρροια καὶ σύμπνοια πάντων, καθάπερ καὶ τοῦθ' ὁ θειότατος Ἱπποκράτης εἶπεν. ἕλκει μὲν οὖν τὸ ἰσχυρότερον, ἐκκενοῦται δὲ τὸ ἀσθενέστερον.

Ἰσχυρότερον δὲ καὶ ἀσθενέστερον ἕτερον ἑτέρου μόριον ἢ ἁπλῶς καὶ φύσει καὶ κοινῇ πᾶσίν ἐστιν ἢ ἰδίως τῷδέ τινι γίγνεται. φύσει μὲν καὶ κοινῇ πᾶσιν ἀνθρώποις θ' ἅμα καὶ ζῴοις ἡ μὲν καρδία τοῦ ἥπατος, τὸ δ' ἧπαρ τῶν ἐντέρων τε καὶ τῆς γαστρός, αἱ δ' ἀρτηρίαι τῶν φλεβῶν ἑλκύσαι τε τὸ χρήσιμον ἑαυταῖς ἀποκρῖναί τε τὸ μὴ τοιοῦτον

---

[1] The mesenteric veins.

would of course be like refusing to believe that purgative drugs draw their appropriate humours from all over the body by the same stomata through which absorption previously takes place, and to look for separate stomata for absorption and purgation respectively. As a matter of fact one and the same stoma subserves two distinct faculties, and these exercise their pull at different times in opposite directions—first it subserves the pull of the liver and, during catharsis, that of the drug. What is there surprising, then, in the fact that the veins situated between the liver and the region of the stomach[1] fulfil a double service or purpose? Thus, when there is abundance of nutriment contained in the food-canal, it is carried up to the liver by the veins mentioned; and when the canal is empty and in need of nutriment, this is again attracted from the liver by the same veins.

For everything appears to attract from and to go shares with everything else, and, as the most divine Hippocrates has said, there would seem to be a consensus in the movements of fluids and vapours.[2] Thus the stronger draws and the weaker is evacuated.

Now, one part is weaker or stronger than another either absolutely, by nature, and in all cases, or else it becomes so in such and such a particular instance. Thus, by nature and in all men alike, the heart is stronger than the liver at attracting what is serviceable to it and rejecting what is not so; similarly the liver is stronger than the intestines and stomach, and

[2] Linacre renders: "Una omnium confluxio ac conspiratio"; and he adds the marginal note "Totum corpus nostrum est conspirabile et confluxile per meatus communes." *cf.* p. 48.

ἰσχυρότεραι. καθ' ἕκαστον δ' ἡμῶν ἰδίως ἐν μὲν τῷδε τῷ καιρῷ τὸ ἧπαρ ἰσχυρότερον ἕλκειν, ἡ γαστὴρ δ' ἐν τῷδε. πολλῆς μὲν γὰρ ἐν τῇ κοιλίᾳ περιεχομένης τροφῆς καὶ σφοδρῶς ὀρεγομένου τε καὶ χρῄζοντος τοῦ ἥπατος, πάντως ἰσχυρότερον ἕλκει τὸ σπλάγχνον· ἔμπαλιν δὲ τοῦ μὲν ἥπατος
190 ἐμπεπλησμένου τε καὶ δια‖τεταμένου, τῆς γαστρὸς δ' ὀρεγομένης καὶ κενῆς ὑπαρχούσης ἡ τῆς ὁλκῆς ἰσχὺς εἰς ἐκείνην μεθίσταται.

Ὡς γάρ, εἰ κἂν ταῖς χερσί τινα σιτία κατέχοντες ἀλλήλων ἁρπάζοιμεν, εἰ μὲν ὁμοίως εἴημεν δεόμενοι, περιγίγνεσθαι τὸν ἰσχυρότερον εἰκός, εἰ δ' οὗτος μὲν ἐμπεπλησμένος εἴη καὶ διὰ τοῦτ' ἀμελῶς κατέχων τὰ περιττὰ ἢ καί τινι μεταδοῦναι ποθῶν, ὁ δ' ἀσθενέστερος ὀρέγοιτο δεινῶς, οὐδὲν ἂν εἴη κώλυμα τοῦ μὴ πάντα λαβεῖν αὐτόν, οὕτω καὶ ἡ γαστὴρ ἐκ τοῦ ἥπατος ἐπισπᾶται ῥᾳδίως, ὅταν αὐτὴ μὲν ἱκανῶς ὀρέγηται τροφῆς, ἐμπεπλησμένον δ' ᾖ τὸ σπλάγχνον. καὶ τοῦ γε μὴ πεινῆν ἐνίοτε τὸ ζῷον ἡ περιουσία τῆς ἐν ἥπατι τροφῆς αἰτία· κρείττονα γὰρ ἔχουσα καὶ ἑτοιμοτέραν ἡ γαστὴρ τροφὴν οὐδὲν δεῖται τῆς ἔξωθεν· εἰ δέ γέ ποτε δέοιτο μέν, ἀποροίη δέ, πληροῦται περιττωμάτων. ἰχῶρες δέ τινές εἰσι ταῦτα χολώδεις τε καὶ φλεγματώδεις καὶ ὀρρώδεις, οὓς μόνους ἑλκούσῃ μεθίησιν αὐτῇ τὸ ἧπαρ, ὅταν ποτὲ καὶ αὐτὴ δέηται τροφῆς.

Ὥσπερ οὖν ἐξ ἀλλήλων ἕλκει τὰ μόρια ‖
191 τροφήν, οὕτω καὶ ἀποτίθεταί ποτ' εἰς ἄλληλα

the arteries than the veins. In each of us personally, however, the liver has stronger drawing power at one time, and the stomach at another. For when there is much nutriment contained in the alimentary canal and the appetite and craving of the liver is violent, then the viscus[1] exerts far the strongest traction. Again, when the liver is full and distended and the stomach empty and in need, then the force of the traction shifts to the latter.

Suppose we had some food in our hands and were snatching it from one another; if we were equally in want, the stronger would be likely to prevail, but if he had satisfied his appetite, and was holding what was over carelessly, or was anxious to share it with somebody, and if the weaker was excessively desirous of it, there would be nothing to prevent the latter from getting it all. In a similar manner the stomach easily attracts nutriment from the liver when it [the stomach] has a sufficiently strong craving for it, and the appetite of the viscus is satisfied. And sometimes the surplusage of nutriment in the liver is a reason why the animal is not hungry; for when the stomach has better and more available food it requires nothing from extraneous sources, but if ever it is in need and is at a loss how to supply the need, it becomes filled with waste-matters; these are certain biliary, phlegmatic [mucous] and serous fluids, and are the only substances that the liver yields in response to the traction of the stomach, on the occasions when the latter too is in want of nutriment.

Now, just as the parts draw food from each other, so also they sometimes deposit their excess substances

[1] The alimentary canal, as not being edible, is not considered a *splanchnon* or viscus.

τὸ περιττὸν καὶ ὥσπερ ἑλκόντων ἐπλεονέκτει τὸ ἰσχυρότερον, οὕτω καὶ ἀποτιθεμένων καὶ τῶν γε καλουμένων ῥευμάτων ἥδε ἡ πρόφασις. ἕκαστον γὰρ τῶν μορίων ἔχει τινὰ τόνον σύμφυτον, ᾧ διωθεῖται τὸ περιττόν. ὅταν οὖν ἓν ἐξ αὐτῶν ἀρρωστότερον γένηται κατὰ δή τινα διάθεσιν, ἐξ ἁπάντων εἰς ἐκεῖνο συρρεῖν ἀνάγκη τὰ περιττώματα. τὸ μὲν γὰρ ἰσχυρότατον ἐναποτίθεται τοῖς πλησίον ἅπασιν, ἐκείνων δ' αὖ πάλιν ἕκαστον εἰς ἕτερ' ἄττα τῶν ἀσθενεστέρων, εἶτ' αὖθις ἐκείνων ἕκαστον εἰς ἄλλα καὶ τοῦτ' ἐπὶ πλεῖστον γίγνεται, μέχρι περ ἂν ἐξ ἁπάντων ἐλαυνόμενον τὸ περίττωμα καθ' ἕν τι μείνῃ τῶν ἀσθενεστάτων· ἐντεῦθεν γὰρ οὐκέτ' εἰς ἄλλο δύναται μεταρρεῖν, ὡς ἂν μήτε δεχομένου τινὸς αὐτὸ τῶν ἰσχυροτέρων μήτ' ἀπώσασθαι δυναμένου τοῦ πεπονθότος.

Ἀλλὰ περὶ μὲν τῶν παθῶν τῆς γενέσεως καὶ τῆς ἰάσεως αὖθις ἡμῶν ἐπιδεικνύντων ἱκανὰ κἀξ ἐκείνων ἔσται λαβεῖν μαρτύρια τῶν ἐν τῷδε τῷ
192 λόγῳ παντὶ || δεδειγμένων ὀρθῶς. ὃ δ' ἐν τῷ παρόντι δεῖξαι προὔκειτο, πάλιν ἀναλάβωμεν, ὡς οὐδὲν θαυμαστὸν ἐξ ἥπατος ἥκειν τινὰ τροφὴν ἐντέροις τε καὶ γαστρὶ διὰ τῶν αὐτῶν φλεβῶν, δι' ὧν ἔμπροσθεν ἐξ ἐκείνων εἰς ἧπαρ ἀνεδίδοτο. καὶ πολλοῖς ἀθρόως τε καὶ τελέως ἀποστᾶσιν ἰσχυρῶν γυμνασίων ἤ τι κῶλον ἀποκοπεῖσιν αἵματος διὰ τῶν ἐντέρων γίγνεται κένωσις ἔκ τινων περιόδων, ὥς που καὶ Ἱπποκράτης ἔλεγεν, οὐδὲν μὲν ἄλλο λυποῦσα, καθαίρουσα δ' ὀξέως τὸ πᾶν σῶμα καὶ τὰς πλησμονὰς ἐκκενοῦσα, διὰ τῶν

in each other, and just as the stronger prevailed when the two were exercising traction, so it is also when they are depositing; this is the cause of the so-called fluxions,[1] for every part has a definite inborn tension, by virtue of which it expels its superfluities, and, therefore, when one of these parts,—owing, of course, to some special condition—becomes weaker, there will necessarily be a confluence into it of the superfluities from all the other parts. The strongest part deposits its surplus matter in all the parts near it; these again in other parts which are weaker; these next into yet others; and this goes on for a long time, until the superfluity, being driven from one part into another, comes to rest in one of the weakest of all; it cannot flow from this into another part, because none of the stronger ones will receive it, while the affected part is unable to drive it away.

When, however, we come to deal again with the origin and cure of disease, it will be possible to find there also abundant proofs of all that we have correctly indicated in this book. For the present, however, let us resume again the task that lay before us, *i.e.* to show that there is nothing surprising in nutriment coming from the liver to the intestines and stomach by way of the very veins through which it had previously been yielded up from these organs into the liver. And in many people who have suddenly and completely given up active exercise, or who have had a limb cut off, there occurs at certain periods an evacuation of blood by way of the intestines—as Hippocrates has also pointed out somewhere. This causes no further trouble but sharply purges the whole body and evacuates the plethoras;

[1] Lit. *rheums*; hence our term *rheumatism*.

αὐτῶν δήπου φλεβῶν τῆς φορᾶς τῶν περιττῶν ἐπιτελουμένης, δι' ὧν ἔμπροσθεν ἡ ἀνάδοσις ἐγίγνετο.

Πολλάκις δ' ἐν νόσοις ἡ φύσις διὰ μὲν τῶν αὐτῶν δήπου φλεβῶν τὸ πᾶν ἐκκαθαίρει ζῷον, οὐ μὴν αἱματώδης γ' ἡ κένωσις αὐτοῖς, ἀλλὰ κατὰ τὸν λυποῦντα γίγνεται χυμόν. οὕτω δὲ κἂν ταῖς χολέραις ἐκκενοῦται τὸ πᾶν σῶμα διὰ τῶν εἰς ἔντερά τε καὶ γαστέρα καθηκουσῶν φλεβῶν.

Τὸ δ' οἴεσθαι μίαν εἶναι ταῖς ὕλαις φορὰν
193 τελέως ἀγνοοῦντός ἐστι τὰς φυσικὰς || δυνάμεις τάς τ' ἄλλας καὶ τὴν ἐκκριτικὴν ἐναντίαν οὖσαν τῇ ἑλκτικῇ· ταῖς γὰρ ἐναντίαις δυνάμεσιν ἐναντίας κινήσεις τε καὶ φορὰς τῶν ὑλῶν ἀναγκαῖον ἀκολουθεῖν. ἕκαστον γὰρ τῶν μορίων, ὅταν ἑλκύσῃ τὸν οἰκεῖον χυμόν, ἔπειτα κατάσχῃ καὶ ἀπολαύσῃ, τὸ περιττὸν ἅπαν ἀποθέσθαι σπεύδει, καθότι μάλιστα δύναται τάχιστά θ' ἅμα καὶ κάλλιστα, κατὰ τὴν τοῦ περιττοῦ ῥοπήν.

Ὅθεν ἡ γαστὴρ τὰ μὲν ἐπιπολάζοντα τῶν περιττωμάτων ἐμέτοις ἐκκαθαίρει, τὰ δ' ὑφιστάμενα διαρροίαις. καὶ τό γε ναυτιῶδες γίγνεσθαι τὸ ζῷον τοῦτ' ἔστιν ὁρμῆσαι τὴν γαστέρα κενωθῆναι δι' ἐμέτου. οὕτω δὲ δή τι βίαιον καὶ σφοδρὸν ἡ ἐκκριτικὴ δύναμις ἔχει, ὥστ' ἐν τοῖς εἰλεοῖς, ὅταν ἀποκλεισθῇ τελέως ἡ κάτω διέξοδος, ἐμεῖται κόπρος. καίτοι πρὶν διελθεῖν τό τε λεπτὸν ἔντερον ἅπαν καὶ τὴν νῆστιν καὶ τὸν πυλωρὸν καὶ τὴν γαστέρα καὶ τὸν οἰσοφάγον οὐχ οἷόν τε διὰ τοῦ στόματος ἐκπεσεῖν οὐδενὶ τοιούτῳ περιττώματι. τί δὴ θαυμαστόν, εἰ κἀκ τῆς ἐσχάτης

[1] Here Galen apparently indicates that vital functions are

the passage of the superfluities is effected, of course, through the same veins by which absorption took place.

Frequently also in disease Nature purges the animal through these same veins—although in this case the discharge is not sanguineous, but corresponds to the humour which is at fault. Thus in *cholera* the entire body is evacuated by way of the veins leading to the intestines and stomach.

To imagine that matter of different kinds is carried in one direction only would characterise a man who was entirely ignorant of all the natural faculties, and particularly of the eliminative faculty, which is the opposite of the attractive. For opposite movements of matter, active and passive, must necessarily follow opposite faculties; that is to say, every part, after it has attracted its special nutrient juice and has retained and taken the benefit of it hastens to get rid of all the surplusage as quickly and effectively as possible, and this it does in accordance with the mechanical tendency of this surplus matter.[1]

Hence the stomach clears away by vomiting those superfluities which come to the surface of its contents,[2] whilst the sediment it clears away by diarrhœa. And when the animal becomes sick, this means that the stomach is striving to be evacuated by vomiting. And the expulsive faculty has in it so violent and forcible an element that in cases of *ileus* [volvulus], when the lower exit is completely closed, vomiting of faeces occurs; yet such surplus matter could not be emitted from the mouth without having first traversed the whole of the small intestine, the jejunum, the pylorus, the stomach, and the oesophagus. What is there to wonder at, then, if something

at least partly explicable in terms of mechanical law. *cf.* Introduction, p. xxviii. [2] *cf.* pp. 211, 247.

ἐπιφανείας τῆς κατὰ τὸ δέρμα μέχρι τῶν ἐντέρων
194 τε καὶ τῆς γαστρὸς ἀφικνοῖτό τι || μεταλαμβανόμενον, ὡς καὶ τοῦθ' Ἱπποκράτης ἡμᾶς ἐδίδαξεν, οὐ πνεῦμα μόνον ἢ περίττωμα φάσκων ἀλλὰ καὶ τὴν τροφὴν αὐτὴν ἐκ τῆς ἐσχάτης ἐπιφανείας αὖθις ἐπὶ τὴν ἀρχήν, ὅθεν ἀνηνέχθη, καταφέρεσθαι. ἐλάχισται γὰρ ῥοπαὶ κινήσεων τὴν ἐκκριτικὴν ταύτην οἰακίζουσι δύναμιν, ὡς ἂν διὰ τῶν ἐγκαρσίων μὲν ἰνῶν γιγνομένην, ὠκύτατα δὲ διαδιδομένην ἀπὸ τῆς κινησάσης ἀρχῆς ἐπὶ τὰ καταντικρὺ πέρατα. οὔκουν ἀπεικὸς οὐδ' ἀδύνατον ἀήθει ποτὲ ψύξει τὸ πρὸς τῷ δέρματι μόριον ἐξαίφνης πιληθὲν ἅμα μὲν ἀρρωστότερον αὐτὸ γενόμενον, ἅμα δ' οἷον ἄχθος τι μᾶλλον ἢ παρασκευὴν θρέψεως ἔχον τὴν ἔμπροσθεν ἀλύπως αὐτῷ παρεσπαρμένην ὑγρότητα καὶ διὰ τοῦτ' ἀπωθεῖσθαι σπεῦδον, ἅμα δὲ τῆς ἔξω φορᾶς ἀποκεκλεισμένης τῇ πυκνώσει, πρὸς τὴν λοιπὴν ἐπιστραφῆναι καὶ οὕτω βιασάμενον εἰς τὸ παρακείμενον αὐτῷ μόριον ἀθρόως ἀπώσασθαι τὸ περιττόν, ἐκεῖνο δ' αὖ πάλιν εἰς τὸ μετ' αὐτό, ||
195 καὶ τοῦτο μὴ παύσασθαι γιγνόμενον, ἄχρις ἂν ἡ μετάληψις ἐπὶ τὰ ἐντὸς πέρατα τῶν φλεβῶν τελευτήσῃ.

Αἱ μὲν δὴ τοιαῦται κινήσεις θᾶττον ἀποπαύονται, αἱ δ' ἀπὸ τῶν ἔνδοθεν διερεθιζόντων, ὡς ἔν τε τοῖς καθαίρουσι φαρμάκοις καὶ ταῖς χολέραις ἰσχυρότεραί τε πολὺ καὶ μονιμώτεραι γίγνονται καὶ διαμένουσιν, ἔστ' ἂν καὶ ἡ περὶ τοῖς στόμασι τῶν ἀγγείων διάθεσις, ἡ τὸ πλησίον

---

[1] See p. 298, note 1.

should also be transferred from the extreme skin-surface and so reach the intestines and stomach? This also was pointed out to us by Hippocrates, who maintained that not merely pneuma or excess-matter, but actual nutriment is brought down from the outer surface to the original place from which it was taken up. For the slightest mechanical movements[1] determine this expulsive faculty, which apparently acts through the transverse fibres, and which is very rapidly transmitted from the source of motion to the opposite extremities. It is, therefore, neither unlikely nor impossible that, when the part adjoining the skin becomes suddenly oppressed by an unwonted cold, it should at once be weakened and should find that the liquid previously deposited beside it without discomfort had now become more of a burden than a source of nutrition, and should therefore strive to put it away. Finally, seeing that the passage outwards was shut off by the condensation [of tissue], it would turn to the remaining exit and would thus forcibly expel all the waste-matter at once into the adjacent part; this would do the same to the part following it; and the process would not cease until the transference finally terminated at the inner ends of the veins.[2]

Now, movements like these come to an end fairly soon, but those resulting from internal irritants (*e.g.*, in the administration of purgative drugs or in cholera) become much stronger and more lasting; they persist as long as the condition of things[3] about the mouths of the veins continues, that is, so long as

[2] The ends of the veins in the alimentary canal from which absorption or *anadosis* had originally taken place.
[3] *Diathesis.*

ἕλκουσα, παραμένῃ. αὕτη μὲν γὰρ τὸ συνεχὲς ἐκκενοῖ μόριον, ἐκεῖνο δ' αὖ τὸ μετ' αὐτὸ καὶ τοῦτ' οὐ παύεται μέχρι τῆς ἐσχάτης ἐπιφανείας, ὥστε διαδιδόντων τῶν ἐφεξῆς ἀεὶ μορίων ἑτέρων ἑτέροις τὸ πρῶτον πάθος ὠκύτατα διικνεῖσθαι μέχρι τῶν ἐσχάτων. οὕτως οὖν ἔχει κἀπὶ τῶν εἰλεῶν. αὐτὸ μὲν γὰρ τὸ φλεγμαῖνον ἔντερον οὔτε τοῦ βάρους οὔτε τῆς δριμύτητος ἀνέχεται τῶν περιττωμάτων καὶ διὰ τοῦτ' ἐκκρίνειν αὐτὰ σπεύδει καὶ ἀπωθεῖσθαι πορρωτάτω. κωλυόμενον δὲ κάτω ποιεῖσθαι τὴν δίωσιν, ὅταν ἐνταυθοῖ ποτε τὸ σφοδρότατον ᾖ τῆς φλεγμονῆς, εἰς τὰ πλησιάζοντα τῶν ὑπερκειμένων ἐντέρων ἀπωθεῖται. καὶ οὕτως ἤδη
196 κατὰ ‖ τὸ συνεχὲς τὴν ῥοπὴν τῆς ἐκκριτικῆς δυνάμεως ἄνω ποιησαμένης ἄχρι τοῦ στόματος ἐπανέρχεται τὰ περιττώματα.

Ταῦτα μὲν οὖν δὴ κἀν τοῖς τῶν νοσημάτων λογισμοῖς ἐπὶ πλέον εἰρήσεται. τὸ δ' ἐκ παντὸς εἰς πᾶν φέρεσθαί τι καὶ μεταλαμβάνεσθαι καὶ μίαν ἁπάντων εἶναι σύμπνοιάν τε καὶ σύρροιαν, ὡς Ἱπποκράτης ἔλεγεν, ἤδη μοι δοκῶ δεδεῖχθαι σαφῶς καὶ μηκέτ' ἄν τινα, μηδ' εἰ βραδὺς αὐτῷ νοῦς ἐνείη, περὶ τῶν τοιούτων ἀπορῆσαι μηδενός, οἷον ὅπως ἡ γαστὴρ ἢ τὰ ἔντερα τρέφεται καὶ τίνα τρόπον ἐκ τῆς ἐσχάτης ἐπιφανείας εἴσω τι διικνεῖται. πάντων γὰρ τῶν μορίων ἕλκειν μὲν τὸ προσῆκόν τε καὶ φίλιον, ἀποκρίνειν δὲ τὸ βαρῦνον ἢ δάκνον ἐχόντων δύναμιν οὐδὲν θαυμαστὸν ἐναντίας συνεχῶς γίγνεσθαι κινήσεις ἐν

these continue to attract what is adjacent. For this condition[1] causes evacuation of the contiguous part, and that again of the part next to it, and this never stops until the extreme surface is reached; thus, as each part keeps passing on matter to its neighbour, the original affection[2] very quickly arrives at the extreme termination. Now this is also the case in *ileus*; the inflamed intestine is unable to support either the weight or the acridity of the waste substances and so does its best to excrete them, in fact to drive them as far away as possible. And, being prevented from effecting an expulsion downwards when the severest part of the inflammation is there, it expels the matter into the adjoining part of the intestines situated above. Thus the tendency of the eliminative faculty is step by step upwards, until the superfluities reach the mouth.

Now this will be also spoken of at greater length in my treatise on disease. For the present, however, I think I have shewn clearly that there is a universal conveyance or transference from one thing into another, and that, as Hippocrates used to say, there exists in everything a consensus in the movement of air and fluids. And I do not think that anyone, however slow his intellect, will now be at a loss to understand any of these points,—how, for instance, the stomach or intestines get nourished, or in what manner anything makes its way inwards from the outer surface of the body. Seeing that all parts have the faculty of attracting what is suitable or well-disposed and of eliminating what is troublesome or irritating, it is not surprising that opposite movements should occur in them consecutively—as may

[1] *Diathesis.* [2] *Pathos.*

*αὐτοῖς, ὥσπερ ἐπί τε τῆς καρδίας ὁρᾶται σαφῶς
καὶ τῶν ἀρτηριῶν ἁπασῶν καὶ τοῦ θώρακος καὶ
τοῦ πνεύμονος. ἐπὶ μέν γε τούτων ἁπάντων
μόνον οὐ καθ' ἑκάστην καιροῦ ῥοπὴν τὰς ἐναντίας
κινήσεις θ' ἅμα τῶν ὀργάνων καὶ φορὰς τῶν
197 ὑλῶν || ἐναργῶς ἔστιν ἰδεῖν γιγνομένας. εἶτ' ἐπὶ
μὲν τῆς τραχείας ἀρτηρίας οὐκ ἀπορεῖς ἐναλλὰξ
ποτὲ μὲν εἴσω παραγούσης εἰς τὸν πνεύμονα τὸ
πνεῦμα, ποτὲ δ' ἔξω, καὶ τῶν κατὰ τὰς ῥῖνας
πόρων καὶ ὅλου τοῦ στόματος ὡσαύτως οὐδ' εἶναί
σοι δοκεῖ θαυμαστὸν οὐδὲ παράδοξον, εἰ, δι' οὗ
μικρῷ πρόσθεν εἴσω παρεκομίζετο τὸ πνεῦμα, διὰ
τούτου νῦν ἐκπέμπεται, περὶ δὲ τῶν ἐξ ἥπατος
εἰς ἔντερά τε καὶ γαστέρα καθηκουσῶν φλεβῶν
ἀπορεῖς καί σοι θαυμαστὸν εἶναι φαίνεται, διὰ
τῶν αὐτῶν ἀναδίδοσθαί θ' ἅμα τὴν τροφὴν εἰς
ἧπαρ ἕλκεσθαί τ' ἐξ ἐκείνου πάλιν εἰς γαστέρα;
διόρισαι δὴ τὸ ἅμα τοῦτο ποτέρως λέγεις. εἰ μὲν
γὰρ κατὰ τὸν αὐτὸν χρόνον, οὐδ' ἡμεῖς τοῦτό γέ
φαμεν. ὥσπερ γὰρ εἰσπνέομεν ἐν ἑτέρῳ χρόνῳ
καὶ αὖθις πάλιν ἐν ἑτέρῳ ἀντεκπνέομεν, οὕτω καὶ
τροφὴν ἐν ἑτέρῳ μὲν χρόνῳ τὸ ἧπαρ ἐκ τῆς
γαστρός, ἐν ἑτέρῳ δ' ἡ γαστὴρ ἐκ τοῦ ἥπατος
ἐπισπᾶται. εἰ δ' ὅτι καθ' ἓν καὶ ταὐτὸ ζῷον ἓν
ὄργανον ἐναντίαις φοραῖς ὑλῶν ὑπηρετεῖ, τοῦτό
σοι βούλεται δηλοῦν τὸ ἅμα καὶ τοῦτό σε ταράτ-
198 τει, τήν τ' || εἰσπνοὴν ἰδὲ καὶ τὴν ἐκπνοήν. πάν-
τως που καὶ αὗται διὰ μὲν τῶν αὐτῶν ὀργάνων
γίγνονται, τρόπῳ δὲ κινήσεώς τε καὶ φορᾶς τῶν
ὑλῶν διαφέρουσιν.*

---

[1] He means, not only under the stress of special circumstances, but also normally.

be clearly seen in the case of the heart, in the various arteries, in the thorax, and lungs. In all these[1] the active movements of the organs and therewith the passive movements of [their contained] matters may be seen taking place almost every second in opposite directions. Now, you are not astonished when the trachea-artery[2] alternately draws air into the lungs and gives it out, and when the nostrils and the whole mouth act similarly; nor do you think it strange or paradoxical that the air is dismissed through the very channel by which it was admitted just before. Do you, then, feel a difficulty in the case of the veins which pass down from the liver into the stomach and intestines, and do you think it strange that nutriment should at once be yielded up to the liver and drawn back from it into the stomach by the same veins? You must define what you mean by this expression "at once." If you mean "at the same time" this is not what we ourselves say; for just as we take in a breath at one moment and give it out again at another, so at one time the liver draws nutriment from the stomach, and at another the stomach from the liver. But if your expression "at once" means that in one and the same animal a single organ subserves the transport of matter in opposite directions, and if it is this which disturbs you, consider inspiration and expiration. For of course these also take place through the same organs, albeit they differ in their manner of movement, and in the way in which the matter is conveyed through them.

[2] Lit. "rough artery." The air-passages as well as the arteries proper were supposed by the Greeks to carry air (pneuma); diastole of arteries was, like expansion of the chest, a movement for drawing in air. *cf.* p. 317, note 1.

Ὁ πνεύμων μὲν οὖν καὶ ὁ θώραξ καὶ ἀρτηρίαι αἱ τραχεῖαι καὶ αἱ λεῖαι καὶ καρδία καὶ στόμα καὶ ῥῖνες ἐν ἐλαχίσταις χρόνου ῥοπαῖς εἰς ἐναντίας κινήσεις αὐτά τε μεταβάλλει καὶ τὰς ὕλας μεθίστησιν. αἱ δ' ἐξ ἥπατος εἰς ἔντερα καὶ γαστέρα καθήκουσαι φλέβες οὐκ ἐν οὕτω βραχέσι χρόνου μορίοις ἀλλ' ἐν πολλαῖς ἡμέραις ἅπαξ ἐνίοτε τὴν ἐναντίαν κινοῦνται κίνησιν.

Ἔχει γὰρ ὧδε τὸ σύμπαν. ἕκαστον τῶν ὀργάνων εἰς ἑαυτὸ τὴν πλησιάζουσαν ἐπισπᾶται τροφὴν ἐκβοσκόμενον αὐτῆς ἅπασαν τὴν χρηστὴν νοτίδα, μέχρις ἂν ἱκανῶς κορεσθῇ, καὶ ταύτην, ὡς καὶ πρόσθεν ἐδείκνυμεν, ἐναποτίθεται ἑαυτῷ καὶ μετὰ ταῦτα προσφύει τε καὶ ὁμοιοῖ, τουτέστι τρέφεται. διώρισται γὰρ ἱκανῶς ἔμπροσθεν ἕτερόν τι τῆς θρέψεως ἐξ ἀνάγκης αὐτῆς προηγούμενον ἡ πρόσφυσις ὑπάρχειν, ἐκείνης δ'
199 ἔτι πρότερον ἡ πρόσθεσις. ὥσπερ οὖν || τοῖς ζῴοις αὐτοῖς ὅρος ἐστὶ τῆς ἐδωδῆς τὸ πληρῶσαι τὴν γαστέρα, κατὰ τὸν αὐτὸν τρόπον ἑκάστῳ τῶν μορίων ὅρος ἐστὶ τῆς προσθέσεως ἡ πλήρωσις τῆς οἰκείας ὑγρότητος. ἐπεὶ τοίνυν ἅπαν μόριον τῇ γαστρὶ ὁμοίως ὀρέγεται τρέφεσθαι, καὶ περιπτύσσεται τῇ τροφῇ καὶ οὕτω σφίγγει πανταχόθεν αὐτὴν ὡς ἡ γαστήρ. ἕπεται δ' ἐξ ἀνάγκης τούτῳ, καθάπερ καὶ πρόσθεν ἐρρήθη, τὸ πέττεσθαι τοῖς σιτίοις, τῆς γαστρὸς οὐ διὰ τοῦτο περιστελλομένης αὐτοῖς, ἵν' ἐπιτήδεια τοῖς ἄλλοις ἐργάσηται μορίοις· οὕτω γὰρ ἂν οὐκέτι φυσικὸν

---

[1] *cf.* p. 39, chap. xi.
[2] Lit. *orexis.*

Now the lungs, the thorax, the arteries rough and smooth, the heart, the mouth, and the nostrils reverse their movements at very short intervals and change the direction of the matters they contain. On the other hand, the veins which pass down from the liver to the intestines and stomach reverse the direction of their movements not at such short intervals, but sometimes once in many days.

The whole matter, in fact, is as follows :—Each of the organs draws into itself the nutriment alongside it, and devours all the useful fluid in it, until it is thoroughly satisfied ; this nutriment, as I have already shown, it stores up in itself, afterwards making it adhere and then assimilating it—that is, it becomes nourished by it. For it has been demonstrated with sufficient clearness already [1] that there is something which necessarily precedes actual nutrition, namely *adhesion*, and that before this again comes *presentation*. Thus as in the case of the *animals* themselves the end of eating is that the stomach should be filled, similarly in the case of each of the *parts*, the end of presentation is the filling of this part with its appropriate liquid. Since, therefore, every part has, like the stomach, a *craving* [2] to be nourished, it too envelops its nutriment and clasps it all round as the stomach does. And this [action of the stomach], as has been already said, is necessarily followed by the digestion of the food, although it is not to make it suitable for the other parts that the stomach contracts upon it ; if it did so, it would no longer be a physiological organ,[3] but an animal possessing reason

[3] Lit. a "physical" organ ; that is, a mere instrument or organon of the Physis,—not one of the Psyche or conscious personality. *cf.* semen, p. 132, note 1.

ὄργανον ἀλλὰ ζῷόν τι γίγνοιτο λογισμόν τε καὶ νοῦν ἔχον, ὡς αἱρεῖσθαι τὸ βέλτιον.

Ἀλλ᾽ αὕτη μὲν περιστέλλεται τῷ τὸ πᾶν σῶμα δύναμιν ἑλκτικήν τινα καὶ ἀπολαυστικὴν κεκτῆσθαι τῶν οἰκείων ποιοτήτων, ὡς ἔμπροσθεν ἐδείκνυτο· συμβαίνει δ᾽ ἐν τούτῳ τοῖς σιτίοις ἀλλοιοῦσθαι. καὶ μέντοι καὶ πληρωθεῖσα τῆς ἐξ αὐτῶν ὑγρότητος καὶ κορεσθεῖσα βάρος ἡγεῖται τὸ λοιπὸν αὐτά. τὸ περιττὸν οὖν εὐθὺς ἀπο-
200 τρίβεταί τε καὶ ὠθεῖ κάτω πρὸς || ἕτερον ἔργον αὐτὴ τρεπομένη, τὴν πρόσφυσιν. ἐν δὲ τούτῳ τῷ χρόνῳ διερχομένη τὸ ἔντερον ἅπαν ἡ τροφὴ διὰ τῶν εἰς αὐτὸ καθηκόντων ἀγγείων ἀναρπάζεται, πλείστη μὲν εἰς τὰς φλέβας, ὀλίγη δέ τις εἰς τὰς ἀρτηρίας, ὡς μικρὸν ὕστερον ἀποδείξομεν. ἐν τούτῳ δ᾽ αὖ τῷ χρόνῳ καὶ τοῖς τῶν ἐντέρων χιτῶσι προστίθεται.

Καί μοι τεμὼν ἤδη τῷ λογισμῷ τὴν τῆς τροφῆς οἰκονομίαν ἅπασαν εἰς τρεῖς μοίρας χρόνων, ἐν μὲν τῇ πρώτῃ νόει μένουσάν θ᾽ ἅμα κατὰ τὴν κοιλίαν αὐτὴν καὶ πεττομένην καὶ προστιθεμένην εἰς κόρον τῇ γαστρὶ καί τι καὶ τῷ ἥπατι παρ᾽ αὐτῆς ἀναφερόμενον.

Ἐν δὲ τῇ δευτέρᾳ διερχομένην τά τ᾽ ἔντερα καὶ προστιθεμένην εἰς κόρον αὐτοῖς τε τούτοις καὶ τῷ ἥπατι καί τι βραχὺ μέρος αὐτῆς πάντῃ τοῦ σώματος φερόμενον· ἐν δὲ δὴ τούτῳ τῷ καιρῷ τὸ προστεθὲν ἐν τῷ πρώτῳ χρόνῳ προσφύεσθαι νόει τῇ γαστρί.

Κατὰ δὲ τὴν τρίτην μοῖραν τοῦ χρόνου τρέ-

---

[1] *cf.* p. 317, note 2; p. 319, chap. **xv.**

and intelligence, with the power of choosing the better [of two alternatives].

But while the stomach contracts for the reason that the whole body possesses a power of attracting and of utilising appropriate qualities, as has already been explained, it also happens that, in this process, the food undergoes alteration; further, when filled and saturated with the fluid pabulum from the food, it thereafter looks on the food as a burden; thus it at once gets rid of the excess—that is to say, drives it downwards—itself turning to another task, namely that of causing adhesion. And during this time, while the nutriment is passing along the whole length of the *intestine*, it is caught up by the vessels which pass into the intestine; as we shall shortly demonstrate,[1] most of it is seized by the veins, but a little also by the arteries; at this stage also it becomes *presented* to the coats of the intestines.

Now imagine the whole economy of nutrition divided into three periods. Suppose that in the first period the nutriment remains in the stomach and is digested and presented to the stomach until satiety is reached, also that some of it is taken up from the stomach to the liver.[2]

During the second period it passes along the intestines and becomes presented both to them and to the liver—again until the stage of satiety—while a small part of it is carried all over the body.[2] During this period, also imagine that what was presented to the stomach in the first period becomes now adherent to it.

During the third period the stomach has reached

[2] Note that absorption takes place from the stomach as well as the intestines. *cf.* p. 118, note 1.

φεσθαι μὲν ἤδη τὴν κοιλίαν ὁμοιώσασαν ἑαυτῇ τελέως τὰ προσφύντα, πρόσφυσιν δὲ τοῖς ἐντέροις καὶ τῷ ἥπατι γίγνεσθαι τῶν προστεθέντων,
201 ἀνά‖δοσιν δὲ πάντη τοῦ σώματος καὶ πρόσθεσιν. εἰ μὲν οὖν ἐπὶ τούτοις εὐθέως τὸ ζῷον λαμβάνοι τροφήν, ἐν ᾧ πάλιν ἡ γαστὴρ χρόνῳ πέττει τε ταύτην καὶ ἀπολαύει προστιθεῖσα πᾶν ἐξ αὐτῆς τὸ χρηστὸν τοῖς ἑαυτῆς χιτῶσι, τὰ μὲν ἔντερα τελέως ὁμοιώσει τὸν προσφύντα χυμόν, ὡσαύτως δὲ καὶ τὸ ἧπαρ. ἐν ὅλῳ δὲ τῷ σώματι πρόσφυσις τῶν προστεθέντων τῆς τροφῆς ἔσται μορίων. εἰ δ' ἄσιτος ἀναγκάζοιτο μένειν ἡ γαστὴρ ἐν τούτῳ τῷ χρόνῳ, παρὰ τῶν ἐν μεσεντερίῳ τε καὶ ἥπατι φλεβῶν ἕλξει τὴν τροφήν· οὐ γὰρ ἐξ αὐτοῦ γε τοῦ σώματος τοῦ ἥπατος. λέγω δὲ σῶμα τοῦ ἥπατος αὐτήν τε τὴν ἰδίαν αὐτοῦ σάρκα πρώτην καὶ μάλιστα, μετὰ δὲ τήνδε καὶ τῶν ἀγγείων ἕκαστον τῶν κατ' αὐτό. τὸν μὲν γὰρ ἐν ἑκάστῳ τῶν μορίων ἤδη περιεχόμενον χυμὸν οὐκέτ' εὔλογον ἀντισπᾶν ἑτέρῳ μορίῳ καὶ μάλισθ' ὅταν ἤδη πρόσφυσις ἢ ἐξομοίωσις αὐτοῦ γίγνηται. τὸν δ' ἐν ταῖς εὐρυχωρίαις τῶν φλεβῶν τὸ μᾶλλον ἰσχύον θ' ἅμα καὶ δεόμενον ἀντισπᾷ μόριον.

202 Οὕτως οὖν καὶ ἡ γαστὴρ ἐν ‖ ᾧ χρόνῳ δεῖται μὲν αὐτὴ τροφῆς, ἐσθίει δ' οὐδέπω τὸ ζῷον, ἐν τούτῳ τῶν κατὰ τὸ ἧπαρ ἐξαρπάζει φλεβῶν. ἐπεὶ δὲ καὶ τὸν σπλῆνα διὰ τῶν ἔμπροσθεν ἐδείκνυμεν ὅσον ἐν ἥπατι παχύτερον ἕλκοντα

[1] That is, among the ultimate tissues or cells.

the stage of receiving nourishment; it now entirely assimilates everything that had become adherent to it: at the same time in the intestines and liver there takes place adhesion of what had been before presented, while dispersal [anadosis] is taking place to all parts of the body,[1] as also presentation. Now, if the animal takes food immediately after these [three stages] then, during the time that the stomach is again digesting and getting the benefit of this by presenting all the useful part of it to its own coats, the intestines will be engaged in final assimilation of the juices which have adhered to them, and so also will the liver: while in the various parts of the body there will be taking place adhesion of the portions of nutriment presented. And if the stomach is forced to remain without food during this time, it will draw its nutriment from the veins in the mesentery and liver; for it will not do so from the actual body of the liver (by *body of the liver* I mean first and foremost its flesh proper, and after this all the vessels contained in it), for it is irrational to suppose that one part would draw away from another part the juice already contained in it, especially when adhesion and final assimilation of that juice were already taking place; the juice, however, that is in the cavity of the veins will be abstracted by the part which is stronger and more in need.

It is in this way, therefore, that the stomach, when it is in need of nourishment and the animal has nothing to eat, seizes it from the veins in the liver. Also in the case of the spleen we have shown in a former passage[2] how it draws all material from

[2] Pp. 205–9.

κατεργάζεσθαί τε καὶ μεταβάλλειν ἐπὶ τὸ χρηστότερον, οὐδὲν οὐδ' ἐνταῦθα θαυμαστὸν ἕλκεσθαί τι κἀκ τοῦ σπληνὸς εἰς ἕκαστον τῶν κοινωνούντων αὐτῷ κατὰ τὰς φλέβας ὀργάνων, οἷον εἰς ἐπίπλοον καὶ μεσεντέριον καὶ λεπτὸν ἔντερον καὶ κῶλον καὶ αὐτὴν τὴν γαστέρα· κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐξερεύγεσθαι μὲν εἰς τὴν γαστέρα τὸ περίττωμα καθ' ἕτερον χρόνον, αὐτὸν δ' αὖθις ἐκ τῆς γαστρὸς ἕλκειν τι τῆς οἰκείας τροφῆς ἐν ἑτέρῳ καιρῷ.

Καθόλου δ' εἰπεῖν, ὃ καὶ πρόσθεν ἤδη λέλεκται, πᾶν ἐκ παντὸς ἕλκειν τε καὶ πέμπειν ἐγχωρεῖ κατὰ διαφέροντας χρόνους, ὁμοιοτάτου γιγνομένου τοῦ συμβαίνοντος, ὡς εἰ καὶ ζῷα νοήσαις πολλὰ τροφὴν ἄφθονον ἐν κοινῷ κατακειμένην, εἰς ὅσον βούλεται, προσφερόμενα. καθ' ὃν γὰρ ἤδη πέπαυται χρόνον ἕτερα, κατὰ τοῦτον εἰκὸς ἐσθίειν
203 ἕτερα, καὶ μέλλειν γε τὰ μὲν ‖ παύεσθαι, τὰ δ' ἄρχεσθαι, καί τινα μὲν συνεσθίοντα, τὰ δ' ἀνὰ μέρος ἐσθίοντα καὶ ναὶ μὰ Δία γε τὸ ἕτερον ἁρπάζειν θατέρου πολλάκις, εἰ τὸ μὲν ἕτερον ἐπιδέοιτο, τῷ δ' ἀφθόνως παρακέοιτο. καὶ οὕτως οὐδὲν θαυμαστὸν οὔτ' ἐκ τῆς ἐσχάτης ἐπιφανείας εἴσω τι πάλιν ὑποστρέφειν οὔτε διὰ τῶν αὐτῶν ἀγγείων ἐξ ἥπατός τε καὶ σπληνὸς εἰς κοιλίαν ἀνενεχθῆναί τι, δι' ὧν ἐκ ταύτης εἰς ἐκεῖνα πρότερον ἀνηνέχθη.

Κατὰ μὲν γὰρ τὰς ἀρτηρίας ἱκανῶς ἐναργὲς τὸ τοιοῦτον, ὥσπερ καὶ κατὰ τὴν καρδίαν τε καὶ τὸν θώρακα καὶ τὸν πνεύμονα. τούτων γὰρ ἁπάντων διαστελλομένων τε καὶ συστελλομένων ἐναλλὰξ ἀναγκαῖον, ἐξ ὧν εἱλκύσθη τι πρότερον, εἰς ταῦθ'

the liver that tends to be thick, and by working it up converts it into more useful matter. There is nothing surprising, therefore, if, in the present instance also, some of this should be drawn from the spleen into such organs as communicate with it by veins, *e.g.* the omentum, mesentery, small intestine, colon, and the stomach itself. Nor is it surprising that the spleen should disgorge its surplus matters into the stomach at one time, while at another time it should draw some of its appropriate nutriment from the stomach.

For, as has already been said, speaking generally, everything has the power at different times of attracting from and of adding to everything else. What happens is just as if you might imagine a number of animals helping themselves at will to a plentiful common stock of food; some will naturally be eating when others have stopped, some will be on the point of stopping when others are beginning, some eating together, and others in succession. Yes, by Zeus! and one will often be plundering another, if he be in need while the other has an abundant supply ready to hand. Thus it is in no way surprising that matter should make its way back from the outer surface of the body to the interior, or should be carried from the liver and spleen into the stomach by the same vessels by which it was carried in the reverse direction.

In the case of the arteries[1] this is clear enough, as also in the case of heart, thorax, and lungs; for, since all of these dilate and contract alternately, it must needs be that matter is subsequently discharged back into the parts from which it was

[1] By this term, of course, the air-passages are also meant; *cf.* p. 305.

ὕστερον ἐκπέμπεσθαι. καὶ ταύτην ἄρα τὴν ἀνάγκην ἡ φύσις προγιγνώσκουσα τοῖς ἐν τῇ καρδίᾳ στόμασι τῶν ἀγγείων ὑμένας ἐπέφυσε κωλύσοντας εἰς τοὐπίσω φέρεσθαι τὰς ὕλας. ἀλλ' ὅπως μὲν τοῦτο γίγνεται καὶ καθ' ὅντινα τρόπον, ἐν τοῖς περὶ χρείας μορίων εἰρήσεται δεικνύντων ἡμῶν τά τ' ἄλλα καὶ ὡς ἀδύνατον οὕτως ἀκριβῶς
204 κλείεσθαι τὰ στόματα τῶν ἀγγείων, ὡς || μηδὲν παλινδρομεῖν. εἰς μὲν γὰρ τὴν ἀρτηρίαν τὴν φλεβώδη, καὶ γὰρ καὶ τοῦτ' ἐν ἐκείνοις δειχθήσεται, πολὺ πλέον ἢ διὰ τῶν ἄλλων στομάτων εἰς τοὐπίσω πάλιν ἀναγκαῖον ἐπανέρχεσθαι. τὸ δ' εἰς τὰ παρόντα χρήσιμον, ὡς οὐκ ἐνδέχεταί τι τῶν αἰσθητὴν καὶ μεγάλην ἐχόντων εὐρύτητα μὴ οὐκ ἤτοι διαστελλόμενον ἕλκειν ἐξ ἁπάντων τῶν πλησίον ἢ ἐκθλίβειν αὖθις εἰς ταῦτα συστελλόμενον ἔκ τε τῶν ἤδη προειρημένων ἐν τῷδε τῷ λόγῳ σαφὲς ἂν εἴη κἀξ ὧν Ἐρασίστρατός τε καὶ ἡμεῖς ἑτέρωθι περὶ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας ἐδείξαμεν.

## XIV

Ἀλλὰ μὴν καὶ ὡς ἐν ἑκάστῃ τῶν ἀρτηριῶν ἐστί τις δύναμις ἐκ τῆς καρδίας ἐπιρρέουσα, καθ' ἣν διαστέλλονταί τε καὶ συστέλλονται, δέδεικται δι' ἑτέρων.

Εἴπερ οὖν συνθείης ἄμφω τό τε ταύτην εἶναι τὴν κίνησιν αὐταῖς τό τε πᾶν τὸ διαστελλόμενον

---

[1] *cf.* p. 34, note 1. [2] *cf.* p. 121, note 4.

[3] Pulmonary vein, or rather, left auricle. Galen means a reflux through the mitral orifice; the left auricle was looked

previously drawn. Now Nature foresaw this necessity,[1] and provided the cardiac openings of the vessels with membranous attachments,[2] to prevent their contents from being carried backwards. How and in what manner this takes place will be stated in my work "On the Use of Parts," where among other things I show that it is impossible for the openings of the vessels to be closed so accurately that nothing at all can run back. Thus it is inevitable that the reflux into the *venous artery*[3] (as will also be made clear in the work mentioned) should be much greater than through the other openings. But what it is important for our present purpose to recognise is that every thing possessing a large and appreciable cavity must, when it dilates, abstract matter from all its neighbours, and, when it contracts, must squeeze matter back into them. This should all be clear from what has already been said in this treatise and from what Erasistratus and I myself have demonstrated elsewhere respecting the tendency of a vacuum to become refilled.[4]

## XIV

And further, it has been shown in other treatises that all the arteries possess a power which derives from the heart, and by virtue of which they dilate and contract.

Put together, therefore. the two facts—that the arteries have this motion, and that everything, when

on rather as the termination of the pulmonary veins than as a part of the heart. *cf.* p. 323, note 4. He speaks here of a kind of "physiological" mitral incompetence.

[4] *Horror vacui.*

ἕλκειν ἐκ τῶν πλησίον εἰς ἑαυτό, θαυμαστὸν οὐδέν σοι φανεῖται τὰς ἀρτηρίας, ὅσαι μὲν εἰς τὸ δέρμα περαίνουσιν αὐτῶν, ἐπισπᾶσθαι τὸν ἔξωθεν ἀέρα διαστελλομένας, ὅσαι δὲ κατά τι πρὸς τὰς ‖
205 φλέβας ἀνεστόμωνται, τὸ λεπτότατον ἐν αὐταῖς καὶ ἀτμωδέστατον ἐπισπᾶσθαι τοῦ αἵματος, ὅσαι δ' ἐγγὺς τῆς καρδίας εἰσίν, ἐξ αὐτῆς ἐκείνης ποιεῖσθαι τὴν ὁλκήν. ἐν γὰρ τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ τὸ κουφότατόν τε καὶ λεπτότατον ἕπεται πρῶτον τοῦ βαρυτέρου τε καὶ παχυτέρου· κουφότατον δ' ἐστὶ καὶ λεπτότατον ἁπάντων τῶν κατὰ τὸ σῶμα πρῶτον μὲν τὸ πνεῦμα, δεύτερον δ' ὁ ἀτμός, ἐπὶ τούτῳ δὲ τρίτον, ὅσον ἂν ἀκριβῶς ᾖ κατειργασμένον τε καὶ λελεπτυσμένον αἷμα.

Ταῦτ' οὖν εἰς ἑαυτὰς ἕλκουσιν αἱ ἀρτηρίαι πανταχόθεν, αἱ μὲν εἰς τὸ δέρμα καθήκουσαι τὸν ἔξωθεν ἀέρα· πλησίον τε γὰρ αὐταῖς οὗτός ἐστι καὶ κουφότατος ἐν τοῖς μάλιστα· τῶν δ' ἄλλων ἡ μὲν ἐπὶ τὸν τράχηλον ἐκ τῆς καρδίας ἀνιοῦσα καὶ ἡ κατὰ ῥάχιν, ἤδη δὲ καὶ ὅσαι τούτων ἐγγὺς ἐξ αὐτῆς μάλιστα τῆς καρδίας· ὅσαι δὲ καὶ τῆς καρδίας πορρωτέρω καὶ τοῦ δέρματος, ἕλκειν ταύταις ἀναγκαῖον ἐκ τῶν φλεβῶν τὸ κουφότατον τοῦ αἵματος· ὥστε καὶ τῶν εἰς τὴν γαστέρα τε καὶ τὰ ἔντερα καθηκουσῶν ἀρτηριῶν τὴν ὁλκὴν ἐν τῷ διαστέλλεσθαι γίγνεσθαι παρά τε
206 τῆς ‖ καρδίας αὐτῆς καὶ τῶν παρακειμένων αὐτῇ φλεβῶν παμπόλλων οὐσῶν. οὐ γὰρ δὴ ἔκ γε τῶν ἐντέρων καὶ τῆς κοιλίας τροφὴν οὕτω παχεῖάν τε καὶ βαρεῖαν ἐν ἑαυτοῖς ἐχόντων δύνανταί τι μεταλαμβάνειν, ὅ τι καὶ ἄξιον λόγου, φθάνουσαι πληροῦσθαι τοῖς κουφοτέροις. οὐδὲ γὰρ εἰ καθεὶς

it dilates, draws neighbouring matter into itself—and you will find nothing strange in the fact that those arteries which reach the skin draw in the outer air when they dilate, while those which anastomose at any point with the veins attract the thinnest and most vaporous part of the blood which these contain, and as for those arteries which are near the heart, it is on the heart itself that they exert their traction. For, by virtue of the tendency by which a vacuum becomes refilled, the lightest and thinnest part obeys the tendency before that which is heavier and thicker. Now the lightest and thinnest of anything in the body is firstly pneuma, secondly vapour, and in the third place that part of the blood which has been accurately elaborated and refined.

These, then, are what the arteries draw into themselves on every side; those arteries which reach the skin draw in the outer air[1] (this being near them and one of the lightest of things); as to the other arteries, those which pass up from the heart into the neck, and that which lies along the spine, as also such arteries as are near these—draw mostly from the heart itself; and those which are further from the heart and skin necessarily draw the lightest part of the blood out of the veins. So also the traction exercised by the diastole of the arteries which go to the stomach and intestines takes place at the expense of the heart itself and the numerous veins in its neighbourhood; for these arteries cannot get anything worth speaking of from the thick heavy nutriment contained in the intestines and stomach,[2] since they first become filled with lighter elements. For if you let down a tube into a vessel

[1] *cf.* p. 305, note 2. [2] *cf.* p. 308, note 1.

αὐλίσκον εἰς ἀγγεῖον ὕδατός τε καὶ ψάμμου πλῆρες ἐπισπάσαιο τῷ στόματι τὸν ἐκ τοῦ αὐλίσκου ἀέρα, δυναιτ' ἂν ἀκολουθῆσαί σοι πρὸ τοῦ ὕδατος ἡ ψάμμος· ἀεὶ γὰρ ἐν τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ τὸ κουφότερον ἕπεται πρότερον.

## XV

Οὔκουν χρὴ θαυμάζειν, εἰ παντελῶς ὀλίγον ἐκ τῆς κοιλίας, ὅσον ἂν ἀκριβῶς ᾖ κατειργασμένον, εἰς τὰς ἀρτηρίας παραγίγνεται φθανούσας πληροῦσθαι τῶν κουφοτέρων, ἀλλ' ἐκεῖνο γιγνώσκειν, ὡς δύ' ἐστὸν ὁλκῆς εἴδη, τὸ μὲν τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, τὸ δ' οἰκειότητι ποιότητος γιγνόμενον· ἑτέρως μὲν γὰρ εἰς τὰς φύσας ὁ ἀήρ, ἑτέρως δ' ὁ σίδηρος ὑπὸ τῆς ἡρακλείας ἐπισπᾶται λίθου· καὶ ὡς ἡ μὲν πρὸς τὸ κενούμενον ἀκο-
207 λουθία || τὸ κουφότερον ἕλκει πρότερον, ἡ δὲ κατὰ τὴν τῆς ποιότητος οἰκειότητα πολλάκις, εἰ οὕτως ἔτυχε, τὸ βαρύτερον, ἂν τῇ φύσει συγγενέστερον ὑπάρχῃ. καὶ τοίνυν καὶ ταῖς ἀρτηρίαις τε καὶ τῇ καρδίᾳ, ὡς μὲν κοίλοις τε καὶ διαστέλλεσθαι δυναμένοις ὀργάνοις, ἀεὶ τὸ κουφότερον ἀκολουθεῖ πρότερον, ὡς δὲ τρέφεσθαι δεομένοις, εἰς αὐτοὺς τοὺς χιτῶνας, οἳ δὴ τὰ σώματα τῶν ὀργάνων εἰσίν, ἕλκεται τὸ οἰκεῖον. ὅσον ἂν οὖν εἰς τὴν κοιλότητα διαστελλομένων αὐτῶν αἵματος μεταληφθῇ, τούτου τὸ οἰκειότατόν

[1] The "mechanical" principle of *horror vacui* contrasted with the "physical" or semi-physiological principle of specific attraction. *Appropriateness* here might almost be rendered *affinity* or *kinship*. *cf.* note 2, *infra*.

full of water and sand, and suck the air out of the tube with your mouth, the sand cannot come up to you before the water, for in accordance with the principle of the refilling of a vacuum the lighter matter is always the first to succeed to the evacuation.

## XV

It is not to be wondered at, therefore, that only a very little [nutrient matter] such, namely, as has been accurately elaborated—gets from the stomach into the arteries, since these first become filled with lighter matter. We must understand that *there are two kinds of attraction*, that by which a vacuum becomes refilled and that caused by appropriateness of quality;[1] air is drawn into bellows in one way, and iron by the lodestone in another. And we must also understand that the traction which results from evacuation acts primarily on what is light, whilst that from appropriateness of quality acts frequently, it may be, on what is heavier (if this should be naturally more nearly related[2]). Therefore, in the case of the heart and the arteries, it is in so far as they are hollow organs, capable of diastole, that they always attract the lighter matter first, while, in so far as they require nourishment, it is actually into their *coats* (which are the real *bodies* of these organs) that the appropriate matter is drawn.[3] Of the blood, then, which is taken into their cavities when they dilate, that part which is most proper to them and

[2] "Related." "akin." *cf.* p. 36, note 2.

[3] The coats exercise the *vital* traction, the cavities the merely *mechanical*. *cf.* p. 165, note 2.

τε καὶ μάλιστα τρέφειν δυνάμενον οἱ χιτῶνες αὐτοὶ τῶν ἀγγείων ἐπισπῶνται.

Τοῦ δ' ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας μεταλαμβάνεσθαί τι πρὸς τοῖς εἰρημένοις ἱκανὸν καὶ τοῦτό γε τεκμήριον. εἰ πολλὰς καὶ μεγάλας ἀρτηρίας διατεμὼν ἀποκτεῖναι τὸ ζῷον βουληθείης, εὑρήσεις αὐτοῦ τὰς φλέβας ὁμοίως ταῖς ἀρτηρίαις ἐκκενουμένας, οὐκ ἂν τούτου ποτὲ γενομένου χωρὶς τῶν πρὸς ἀλλήλας αὐταῖς ἀναστομώσεων. ὡσαύτως δὲ καὶ κατ' αὐτὴν τὴν καρδίαν ἐκ τῆς δεξιṂς κοιλίας εἰς τὴν ἀριστερὰν
208 ἕλκεται τὸ λεπτό||τατον ἔχοντός τινα τρήματα τοῦ μέσου διαφράγματος αὐτῶν, ἃ μέχρι μὲν πλείστου δυνατόν ἐστιν ἰδεῖν, οἷον βοθύνους τινὰς ἐξ εὐρυτέρου στόματος ἀεὶ καὶ μᾶλλον εἰς στενότερον προϊόντας. οὐ μὴν αὐτά γε τὰ ἔσχατα πέρατα δυνατὸν ἔτι θεάσασθαι διά τε σμικρότητα καὶ ὅτι τεθνεῶτος ἤδη τοῦ ζῴου κατέψυκταί τε καὶ πεπύκνωται πάντα. ἀλλ' ὁ λόγος κἀνταῦθα πρῶτον μὲν ἐκ τοῦ μηδὲν ὑπὸ τῆς φύσεως γίγνεσθαι μάτην ὁρμώμενος ἐξευρίσκει τὰς ἀναστομώσεις ταύτας τῶν κοιλιῶν τῆς καρδίας· οὐ γὰρ δὴ εἰκῇ γε καὶ ὡς ἔτυχεν οἱ ἐς στενὸν οὕτω τελευτῶντες ἐγένοντο βόθυνοι.

Δεύτερον δὲ κἀκ τοῦ δυοῖν ὄντοιν στομάτοιν ἐν τῇ δεξιᾷ τῆς καρδίας κοιλίᾳ τοῦ μὲν εἰσάγοντος τὸ αἷμα, τοῦ δ' ἐξάγοντος πολὺ μεῖζον εἶναι τὸ εἰσάγον. ὡς γὰρ οὐ παντὸς τοῦ αἵματος, ὅσον ἡ κοίλη φλὲψ δίδωσι τῇ καρδίᾳ, πάλιν ἐξ ἐκείνης

[1] Chap. xiv.
[2] These *fossae* were probably the recesses between the *columnae carneae.*
[3] On *logos cf.* p. 226, note 2.

most able to afford nourishment is attracted by their actual coats.

Now, apart from what has been said,[1] the following is sufficient proof that something is taken over from the veins into the arteries. If you will kill an animal by cutting through a number of its large arteries, you will find the veins becoming empty along with the arteries: now, this could never occur if there were not anastomoses between them. Similarly, also, in the heart itself, the thinnest portion of the blood is drawn from the right ventricle into the left, owing to there being perforations in the septum between them: these can be seen for a great part [of their length]; they are like a kind of fossae [pits] with wide mouths, and they get constantly narrower; it is not possible, however, actually to observe their extreme terminations, owing both to the smallness of these and to the fact that when the animal is dead all the parts are chilled and shrunken.[2] Here, too, however, our argument,[3] starting from the principle that nothing is done by Nature in vain, discovers these anastomoses between the ventricles of the heart; for it could not be at random and by chance that there occurred fossae ending thus in narrow terminations.

And secondly [the presence of these anastomoses has been assumed] from the fact that, of the two orifices in the right ventricle, the one conducting blood in and the other out, the former[4] is much the larger. For, the fact that the insertion of the vena cava into the heart[5] is larger than the

[4] He means the tricuspid orifice. *cf.* p. 121, note 4.

[5] The right auricle was looked on less as a part of the heart than as an expansion or "insertion" of the vena cava.

*ἐκπεμπομένου τῷ πνεύμονι, μείζων ἐστὶν ἡ ἀπὸ τῆς κοίλης εἰς αὐτὴν ἔμφυσις τῆς ἐμφυομένης εἰς*
209 *τὸν πνεύμονα φλεβός. οὐδὲ* || *γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐδαπανήθη τι τοῦ αἵματος εἰς τὴν αὐτοῦ τοῦ σώματος τῆς καρδίας θρέψιν. ἑτέρα γάρ ἐστι φλὲψ ἡ εἰς ἐκεῖνο κατασχιζομένη μήτε τὴν γένεσιν ἐκ τῆς καρδίας αὐτῆς μήτε τὴν τοῦ αἵματος ἔχουσα μετάληψιν. εἰ δὲ καὶ δαπανᾶταί τι, ἀλλ' οὐ τοσοῦτόν γε μείων ἐστὶν ἡ εἰς τὸν πνεύμονα φλὲψ ἄγουσα τῆς εἰς τὴν καρδίαν ἐμφυομένης, ὅσον εἰκὸς εἰς τὴν τροφὴν ἀνηλῶσθαι τῆς καρδίας, ἀλλὰ πλέον πολλῷ. δῆλον οὖν, ὡς εἰς τὴν ἀριστεράν τι μεταλαμβάνεται κοιλίαν.*

*Καὶ γὰρ οὖν καὶ τῶν κατ' ἐκείνην ἀγγείων δυοῖν ὄντων ἔλαττόν ἐστι πολλῷ τὸ ἐκ τοῦ πνεύμονος εἰς αὐτὴν εἰσάγον τὸ πνεῦμα τῆς ἐκφυομένης ἀρτηρίας τῆς μεγάλης, ἀφ' ἧς αἱ κατὰ τὸ σῶμα σύμπασαι πεφύκασιν, ὡς ἂν μὴ μόνον ἐκ τοῦ πνεύμονος πνεῦμα μεταλαμβανούσης αὐτῆς, ἀλλὰ κἀκ τῆς δεξιᾶς κοιλίας αἷμα διὰ τῶν εἰρημένων ἀναστομώσεων.*

*Ὅτι δ' ἄμεινον ἦν τοῖς τοῦ σώματος μορίοις τοῖς μὲν ὑπὸ καθαροῦ καὶ λεπτοῦ καὶ ἀτμώδους αἵματος τρέφεσθαι, τοῖς δ' ὑπὸ παχέος καὶ θολεροῦ καὶ ὡς οὐδ' ἐνταῦθά τι παρεώραται τῇ*
210 *φύσει, τῆς* || *περὶ χρείας μορίων πραγματείας ἐστίν, ὥστ' οὐ χρὴ νῦν ὑπὲρ τούτων ἔτι λέγειν,*

---

[1] This "vein" (really the pulmonary artery) was supposed to be the channel by which the lungs received nutriment from the right heart. *cf.* p. 121, note 3.

[2] The coronary vein.

[3] Galen's conclusion, of course, is, so far, correct, but he has substituted an imaginary direct communication between the ventricles for the actual and more roundabout pulmonary

vein which is inserted into the lungs[1] suggests that not all the blood which the vena cava gives to the heart is driven away again from the heart to the lungs. Nor can it be said that any of the blood is expended in the nourishment of the actual body of the heart, since there is another vein[2] which breaks up in it and which does not take its origin nor get its share of blood from the heart itself. And even if a certain amount is so expended, still the vein leading to the lungs is not to such a slight extent smaller than that inserted into the heart as to make it likely that the blood is used as nutriment for the heart: the disparity is much too great for such an explanation. It is, therefore, clear that something *is* taken over into the left ventricle.[3]

Moreover, of the two vessels connected with it, that which brings pneuma into it from the lungs[4] is much smaller than the great outgrowing artery[5] from which the arteries all over the body originate; this would suggest that it not merely gets pneuma from the lungs, but that it also gets blood from the right ventricle through the anastomoses mentioned.

Now it belongs to the treatise "On the Use of Parts" to show that it was best that some parts of the body should be nourished by pure, thin, and vaporous blood, and others by thick, turbid blood, and that in this matter also Nature has overlooked nothing. Thus it is not desirable that these matters should be further discussed. Having mentioned,

circulation, of whose existence he apparently had no idea. His views were eventually corrected by the Renascence anatomists. *cf.* Introduction, pp. xxii.–xxiii.

[4] He means the left auricle, considered as the termination of the pulmonary "arteries"; *cf.* p. 314, note 3.

[5] The aorta, its orifice being circular, appears bigger than the slit-like mitral orifice.

ἀλλ' ὑπομνήσαντας, ὡς δύο ἐστὸν ὁλκῆς εἴδη, τῶν μὲν εὐρείαις ὁδοῖς ἐν τῷ διαστέλλεσθαι τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ τὴν ἕλξιν ποιουμένων, τῶν δ' οἰκειότητι ποιότητος, ἐφεξῆς λέγειν, ὡς τὰ μὲν πρότερα καὶ πόρρωθεν ἕλκειν τι δύναται, τὰ δὲ δεύτερα ἐκ τῶν ἐγγυτάτω μόνων. αὐλίσκον μὲν γὰρ ὅτι μήκιστον εἰς ὕδωρ ἔνεστι καθέντα ῥᾳδίως ἀνασπᾶν εἰς τὸ στόμα δι' αὐτοῦ τὸ ὑγρόν· οὐ μὴν εἴ γ' ἐπὶ πλέον ἀπαγάγοις τῆς ἡρακλείας λίθου τὸν σίδηρον ἢ τοὺς πυροὺς τοῦ κεραμίου—καὶ γὰρ καὶ τοιοῦτόν τι πρόσθεν ἐλέγετο παράδειγμα—δύναιτ' ἂν ἔτι γενέσθαι τις ὁλκή.

Σαφέστατα δ' ἂν αὐτὸ μάθοις ἐπὶ τῶν ἐν τοῖς κήποις ὀχετῶν· ἐκ τούτων γὰρ εἰς μὲν τὰ παρακείμενα καὶ πλησίον ἅπαντα διαδίδοταί τις ἰκμάς, εἰς δὲ τὰ πορρωτέρω προσελθεῖν οὐκέτι δύναται, καὶ διὰ τοῦτ' ἀναγκάζονται πολλοῖς ὀχετοῖς μικροῖς ἀπὸ τοῦ μεγάλου τετμημένοις εἰς ἕκαστον μέρος τοῦ κήπου τὴν ἐπίρρυσιν τοῦ ὕδατος ἐπι-
211 τεχνᾶσθαι· καὶ τηλικαῦτά γε τὰ ‖ μεταξὺ διαστήματα τούτων τῶν μικρῶν ὀχετῶν ποιοῦσιν, ἡλίκα μάλιστα νομίζουσιν ἀρκεῖν εἰς τὸ ἱκανῶς ἀπολαύειν ἕλκοντα τῆς ἑκατέρωθεν αὐτοῖς ἐπιρρεούσης ὑγρότητος. οὕτως οὖν ἔχει κἀν τοῖς τῶν ζῴων σώμασιν. ὀχετοὶ πολλοὶ κατὰ πάντα τὰ μέλη διεσπαρμένοι παράγουσιν αὐτοῖς αἷμα καθάπερ ἐν κήποις ὑδρείαν τινά. καὶ τούτων τῶν ὀχετῶν τὰ μεταξὺ διαστήματα θαυμαστῶς ὑπὸ τῆς φύσεως εὐθὺς ἐξ ἀρχῆς διατέτακται πρὸς τὸ μήτ' ἐνδεῶς χορηγεῖσθαι τοῖς μεταξὺ μορίοις ἕλκουσιν εἰς ἑαυτὰ τὸ αἷμα μήτε κατακλύζεσθαί

however, that there are two kinds of attraction, certain bodies exerting attraction along wide channels during diastole (by virtue of the principle by which a vacuum becomes refilled) and others exerting it by virtue of their appropriateness of quality, we must next remark that the former bodies can attract even from a distance, while the latter can only do so from among things which are quite close to them ; the very longest tube let down into water can easily draw up the liquid into the mouth, but if you withdraw iron to a distance from the lodestone or corn from the jar (an instance of this kind has in fact been already given[1]) no further attraction can take place.

This you can observe most clearly in connection with *garden conduits*. For a certain amount of moisture is distributed from these into every part lying close at hand but it cannot reach those lying further off: therefore one has to arrange the flow of water into all parts of the garden by cutting a number of small channels leading from the large one. The intervening spaces between these small channels are made of such a size as will, presumably, best allow them [the spaces] to satisfy their needs by drawing from the liquid which flows to them from every side. So also is it in the bodies of animals. Numerous conduits distributed through the various limbs bring them pure blood, much like the garden water-supply, and, further, the intervals between these conduits have been wonderfully arranged by Nature from the outset so that the intervening parts should be plentifully provided for when absorbing blood, and that they should never

[1] p. 87.

ποτ' αὐτὰ πλήθει περιττῆς ὑγρότητος ἀκαίρως ἐπιρρεούσης.

Ὁ γὰρ δὴ τρόπος τῆς θρέψεως αὐτῶν τοιόσδε τίς ἐστι. τοῦ συνεχοῦς ἑαυτῷ σώματος, οἷόνπερ τὸ ἁπλοῦν ἀγγεῖον Ἐρασίστρατος ὑποτίθεται, τὰ μὲν ἐπιπολῆς μέρη πρῶτα τῆς ὁμιλούσης ἀπολαύει τροφῆς· ἐκ δὲ τούτων αὖ μεταλαμβάνει κατὰ τὸ συνεχὲς ἕλκοντα τὰ τούτων ἑξῆς, εἶτ' ἐξ ἐκείνων αὖθις ἕτερα καὶ τοῦτ' οὐ παύεται γιγνόμενον, ἄχρις ἂν εἰς ἅπαντ' αὐτοῦ διαδοθῇ τὰ μόρια τῆς τρεφούσης οὐσίας ἡ ποιότης. ὅσα δὲ
212 τῶν μορίων ἐπὶ πλέον || ἀλλοιουμένου δεῖται τοῦ μέλλοντος αὐτὰ θρέψειν χυμοῦ, τούτοις ὥσπερ τι ταμιεῖον ἡ φύσις παρεσκεύασεν ἤτοι κοιλίας ἢ σήραγγας ἤ τι ταῖς σήραγξιν ἀνάλογον. αἱ μὲν γὰρ σάρκες αἵ τε τῶν σπλάγχνων ἁπάντων αἵ τε τῶν μυῶν ἐξ αἵματος αὐτοῦ τρέφονται βραχεῖαν ἀλλοίωσιν δεξαμένου. τὰ δ' ὀστᾶ παμπόλλης ἐν τῷ μεταξὺ δεῖται τῆς μεταβολῆς, ἵνα τραφῇ, καὶ ἔστιν οἷόνπερ τὸ αἷμα ταῖς σαρξί, τοιοῦτος ὁ μυελὸς τοῖς ὀστοῖς ἐν μὲν τοῖς μικροῖς τε καὶ ἀκοιλίοις κατὰ τὰς σήραγγας αὐτῶν διεσπαρμένος, ἐν δὲ τοῖς μείζοσί τε καὶ κοιλίας ἔχουσιν ἐν ἐκείναις ἠθροισμένος.

Ὡς γὰρ καὶ διὰ τοῦ πρώτου γράμματος ἐδείκνυτο, τοῖς μὲν ὁμοίαν ἔχουσι τὴν οὐσίαν εἰς ἄλληλα μεταβάλλειν ἐγχωρεῖ, τοῖς δὲ πάμπολυ διεστῶσιν ἀμήχανον ἀλλήλοις ὁμοιωθῆναι χωρὶς τῶν ἐν μέσῳ μεταβολῶν. τοιοῦτόν τι καὶ τοῖς

[1] Or we may render it "corpuscle"; Galen practically means the *cell*. *cf.* p. 153, note 2.

be deluged by a quantity of superfluous fluid running in at unsuitable times.

For the way in which they obtain nourishment is somewhat as follows. In the body[1] which is continuous throughout, such as Erasistratus supposes his *simple vessel* to be, it is the superficial parts which are the first to make use of the nutriment with which they are brought into contact; then the parts coming next draw their share from these by virtue of their contiguity; and again others from these; and this does not stop until the quality of the nutrient substance has been distributed among all parts of the corpuscle in question. And for such parts as need the humour which is destined to nourish them to be altered still further, Nature has provided a kind of storehouse, either in the form of a central cavity or else as separate caverns,[2] or something analogous to caverns. Thus the flesh of the viscera and of the muscles is nourished from the blood directly, this having undergone merely a slight alteration; the bones, however, in order to be nourished, require very great change, and what blood is to flesh marrow is to bone; in the case of the small bones, which do not possess central cavities, this marrow is distributed in their caverns, whereas in the larger bones which do contain central cavities the marrow is all concentrated in these.

For, as was pointed out in the first book,[3] things having a similar substance can easily change into one another, whereas it is impossible for those which are very different to be assimilated to one another without intermediate stages. Such a one in respect to

[2] *cf.* the term "cavernous tissue."
[3] I. x.

χόνδροις ἐστὶ τὸ περικεχυμένον μυξῶδες καὶ τοῖς
συνδέσμοις καὶ τοῖς ὑμέσι καὶ τοῖς νεύροις τὸ
παρεσπαρμένον ἐν αὐτοῖς ὑγρὸν γλίσχρον· ἕκα-
213 στον γὰρ ‖ τούτων ἐξ ἰνῶν σύγκειται πολλῶν,
αἵπερ ὁμοιομερεῖς τ' εἰσὶ καὶ ὄντως αἰσθητὰ
στοιχεῖα. κατὰ δὲ τὰς μεταξὺ χώρας αὐτῶν ὁ
οἰκειότατος εἰς θρέψιν παρέσπαρται χυμός, ὃν
εἵλκυσαν μὲν ἐκ τῶν φλεβῶν τοῦ αἵματος, ὅσον
οἷόν τ' ἦν ἐκλεξάμεναι τὸν ἐπιτηδειότατον, ἐξ-
ομοιοῦσι δὲ κατὰ βραχὺ καὶ μεταβάλλουσιν εἰς
τὴν ἑαυτῶν οὐσίαν.

Ἅπαντ' οὖν ταῦτα καὶ ἀλλήλοις ὁμολογεῖ καὶ
τοῖς ἔμπροσθεν ἀποδεδειγμένοις ἱκανῶς μαρτυρεῖ
καὶ οὐ χρὴ μηκύνειν ἔτι τὸν λόγον· ἐκ γὰρ τῶν
εἰρημένων ἔνεστιν ἑκάστῳ τὰ κατὰ μέρος ἅπαντα
καθ' ὅντινα γίγνεται τρόπον ἐξευρίσκειν ἑτοίμως,
ὥσπερ καὶ διὰ τί πολλοῖς κωθωνιζομένοις πάμ-
πολυ τάχιστα μὲν ἀναδίδοται τὸ ποθέν, οὐρεῖται
δ' ὀλίγου δεῖν ἅπαν ἐντὸς οὐ πολλοῦ χρόνου. καὶ
γὰρ κἀνταῦθα τῇ τε τῆς ποιότητος οἰκειότητι καὶ
τῇ τῆς ὑγρότητος λεπτότητι καὶ τῇ τῶν ἀγγείων
τε καὶ τῶν κατ' αὐτὰ στομάτων εὐρύτητι καὶ τῇ
τῆς ἑλκτικῆς δυνάμεως εὐρωστίᾳ τὸ τάχος συν-
τελεῖται τῆς ἀναδόσεως, τῶν μὲν πλησίον τῆς
κοιλίας τεταγμένων μορίων οἰκειότητι ποιότη-
214 τος ‖ ἑαυτῶν ἕνεκα ἑλκόντων τὸ πόμα, τῶν δ'

cartilage is the myxoid substance which surrounds it, and in respect to ligaments, membranes, and nerves the viscous liquid dispersed inside them; for each of these consists of numerous fibres, which are homogeneous[1]—in fact, actual *sensible elements*; and in the intervals between these fibres is dispersed the humour most suited for nutrition; this they have drawn from the blood in the veins, choosing the most appropriate possible, and now they are assimilating it step by step and changing it into their own substance.

All these considerations, then, agree with one another, and bear sufficient witness to the truth of what has been already demonstrated; there is thus no need to prolong the discussion further. For, from what has been said, anyone can readily discover in what way all the particular [vital activities] come about. For instance, we could in this way ascertain why it is that in the case of many people who are partaking freely of wine, the fluid which they have drunk is rapidly absorbed[2] through the body and almost the whole of it is passed by the kidneys within a very short time. For here, too, the rapidity with which the fluid is absorbed depends on appropriateness of quality, on the thinness of the fluid, on the width of the vessels and their mouths, and on the efficiency of the attractive faculty. The parts situated near the alimentary canal, by virtue of their appropriateness of quality, draw in the imbibed food for their own purposes, then the parts next to them

[1] Lit. *homoeomerous*, *i.e.* "the same all through," of similar structure throughout, the *elements* of living matter. *cf.* p. 20, note 3, and *cf.* also the "cell" of Erasistratus, p. 153.
[2] "Delivered," "dispersed"; *cf.* p. 13, note 5.

ἑξῆς τούτοις ἐξαρπαζόντων καὶ αὐτῶν εἰς ἑαυτὰ κἄπειτα τῶν ἐφεξῆς πάλιν ἐκ τούτων μεταλαμβανόντων, ἄχρις ἂν εἰς τὴν κοίλην ἀφίκηται φλέβα, τοὐντεῦθεν δ' ἤδη τῶν νεφρῶν τὸ οἰκεῖον ἐπισπωμένων. ὥστ' οὐδὲν θαυμαστὸν οἶνον μὲν ὕδατος ἀναλαμβάνεσθαι θᾶττον οἰκειότητι ποιότητος, αὐτὸν δὲ τὸν οἶνον τὸν μὲν λευκὸν καὶ καθαρὸν ἑτοίμως ἀναδίδοσθαι διὰ λεπτότητα, τὸν δ' αὖ μέλανα καὶ θολερὸν ἴσχεσθαί τε κατὰ τὴν ὁδὸν καὶ βραδύνειν ὑπὸ πάχους.

Εἴη δ' ἂν ταῦτα καὶ τῶν ὑπὲρ τῶν ἀρτηριῶν ἔμπροσθεν εἰρημένων οὐ σμικρὰ μαρτύρια. πανταχοῦ γὰρ ὅσον οἰκεῖόν τε καὶ λεπτὸν αἷμα τοῦ μὴ τοιούτου ῥᾷον ἕπεται τοῖς ἕλκουσιν. ἀτμὸν οὖν ἕλκουσαι καὶ πνεῦμα καὶ λεπτὸν αἷμα κατὰ τὰς διαστάσεις αἱ ἀρτηρίαι τῶν κατὰ τὴν κοιλίαν καὶ τὰ ἔντερα περιεχομένων χυμῶν ἢ οὐδ' ὅλως ἢ παντάπασιν ἐπισπῶνται βραχύ.

in their turn snatch it away, then those next again take it from these, until it reaches the vena cava, whence finally the kidneys attract that part of it which is proper to them. Thus it is in no way surprising that wine is taken up more rapidly than water, owing to its appropriateness of quality, and, further, that the white clear kind of wine is absorbed more rapidly owing to its thinness, while black turbid wine is checked on the way and retarded because of its thickness.

These facts, also, will afford abundant proof of what has already been said about the arteries; everywhere, in fact, such blood as is both specifically appropriate and at the same time thin in consistency answers more readily to their traction than does blood which is not so; this is why the arteries which, in their diastole, absorb vapour, pneuma, and thin blood attract either none at all or very little of the juices contained in the stomach and intestines.